Man hat immer gern die beiden unter dem Namen Euklids vorhandenen optischen Schriften dem grofsen Geometer abgesprochen, weil man an die Klarheit und logische Schärfe der Elemente gewohnt, sich daran stiefs, so vieles entschieden Unrichtiges in Sätzen und Beweisen in diesen beiden Schriften zu finden. Bartholin in seiner Ausgabe der Optik des sogenannten Heliodor (Paris 1657) S. 138 hält Theon für den Verfasser (sicuti videmus factum a Theone in libro, quae Euclidis optica nuncupatur; nam Euclidis illas propositiones non esse absque controversia opinor considerans demonstrationes illas a tanto doctore geometra proficisci non potuisse, nisi vitio temporum librariorum et commentatorum nimis credamus esse deprauatas). Savilius hält sie, wie es scheint, zwar nicht für unecht (Praelectiones XIII, S. 17: cuius praeter elementa alia complura habemus monumenta a Proclo commemorata, Optica, Catoptrica, libros ut ego quidem existimo non magni momenti), spöttelt aber in seinen von Gregorius herausgegebenen Randbemerkungen mit abgeschmackten Witzeleien über die vielen Ungereimtheiten, die er in ihnen finde. Peyrard betrachtete sie so entschieden als unecht, dafs er sie nicht einmal in seine Gesammtausgabe des Euklid aufnahm. Kepler dagegen schreibt an Ioannes Georgius Brengger (Epistolae ad I. Keplerum CLII, angeführt von E. Wilde: Optik der Griechen, S. 9, Anm.): Euclidis Catoptrica *νοθεύειν* arguis meo iudicio perperam. verba tersa, nitida, emuncta, imo tornata, demonstrationes rotundae et breves, distinctio diligens inter assumpta et ex assumptis demonstrata. itaque non est, ut ais, turpis lapsus ex assumpto falso videre quid sequatur, sed et confessio obscuritatis naturae, falsum assumere, aut si error, non certe incredibilis in Euclide, qui cum sua aetate de *ὄψεσι* philosophatur ad captum illorum hominum. Ihm folgen Schneider: Eclogae phys. II, S. 204 ff. und Wilde S. 9. Kepler hat sehr richtig hervorgehoben, dafs, wenn keine andern Gründe gegen die Echtheit dieser beiden Schriften vorgebracht werden können, als dafs viele Sätze nach unseren heutigen Kenntnissen der Optik falsch, ja selbst lächerlich sind, so dürfen wir nicht

darauf hin das Verdammungsurteil unterschreiben. Denn unsere Vorstellungen vom Zustande der Optik zu Euklids Zeiten müssen sich nach dem unverdächtig Überlieferten richten und dürfen nicht unser Urteil über Echtheit oder Unechtheit des einzigen Denkmals, das wir von den optischen Studien und Kenntnissen bei den Griechen der älteren Zeit noch übrig haben, beherrschen. Dazu kommt noch, dafs die beiden Schriften bis jetzt nur nach jungen und augenscheinlich sehr schlechten Handschriften herausgegeben sind, so dafs voraussichtlich viele Ungenauigkeiten der Beweise auf die Abschreiber kommen. Denn solche können natürlich nicht von Euklid selbst herrühren, besonders da Proklus S. 69, 2 in den ὀπτικά und κατοπτρικά dieselbe ἀκρίβεια rühmt, die man sonst in den Schriften Euklids bewundere.

Ich will hier die Frage über Echtheit oder Unechtheit für jede der beiden Schriften einzeln erörtern auf Grundlage des mir vorhandenen Materials, das freilich noch lange nicht vollständig ist.

A.

Die Optik wurde zum ersten Male mit der Katoptrik zusammen von Johannes Pena herausgegeben (Euclidis Optica et Catoptrica, nunquam antehac Graece aedita. Parisiis apud A. Wechelum. 1557. 8; eine lateinische Übersetzung erschien in demselben Jahre unter dem Titel: Euclidis Optica et Catoptrica e Graeco versa per I. Penam. Parisiis. 1557. 8), dessen Ausgabe und Übersetzung Gregorius in allem Wesentlichen aufnahm (praef. fol. 5^{v}: versione latina Io. Penae sumus usi Graecumque textum, quam potuimus, castigatum fecimus). Zwar hatte er sowohl einen codex Savilianus als eine Bodleianer Handschrift (S. 601 n. 1 u. 3), aber er scheint sie nur in seinen Anmerkungen benutzt zu haben. Aus ihm schöpfte Schneider, der in seinen Eclogae physicae I S. 381 ff. die Sätze der Optik und Katoptrik mit schätzbaren Erläuterungen (II S. 204 ff.) herausgab. Aufserdem erschienen die Sätze (ohne die Beweise) griechisch und lateinisch durch C. Dasypodius (Euclidis omnes omnium librorum propositiones graece et latine editae per Cunradum Dasypodium. Argentinae 1571. 8) ohne bedeutende Abweichungen von Pena (aber doch von ihm unabhängig). Ebenfalls stimmt die Mehrzahl der Handschriften trotz aller Verschiedenheit im einzelnen im grofsen und ganzen mit seinem Text (so, bei dem Schweigen des Gregorius, wahrscheinlich seine beiden Handschriften, cod. Flor. Laur. XXVIII 10 saec. XV, den ich in Florenz flüchtig einsah, cod. Par. 2107 saec. XV, 2342 saec. XIV, 2347 saec. XVI, 2350 saec. XVI, 2351 saec. XVI, 2352 saec. XV, 2363 saec. XV, 2390 saec. XIII, 2468 saec. XVI, 2472 saec. XIV, Suppl. 186 saec. XVI, welche ich alle aus den Mitteilungen des Hrn. A. Jakob in Paris kenne). Auch die Übersetzung G. Vallas

(Neue Jahrb. Suppl. XII, S. 394—95), die in vielen Nebendingen abweicht, gehört doch der Hauptsache nach in dieselbe Klasse, sowie auch die Übersetzung Zambertis, die ich nur aus der Basler Ausgabe bei Hervagius 1546 fol. kenne. Aber es giebt doch auch Handschriften, die eine ältere und weit bessere Redaktion bieten als die bisher allein bekannte.

Als ich im Herbst 1879 in Florenz war, um die Haupthandschrift des Archimedes zu vergleichen, fand ich Gelegenheit, auch die in der Biblioteca Laurenziana befindlichen Euklidhandschriften an einigen wenigen Stellen von besonderer Bedeutung zu untersuchen. So fand ich in dem vorzüglichen cod. Laurent. XXVIII 3, der aufser den Elementen noch die Optik und die *φαινόμενα* enthält, eine ganz abweichende Form der Optik, woraus ich mir wegen der Kürze der Zeit nur einige Hauptpunkte notieren konnte. Der gröfsere Teil der nicht sehr gut bewahrten Pergamenthandschrift stammt aus dem XI. oder gar X. saec., aber das übrige ist auf ganz weifsem Pergament im XVI. saec. geschrieben; es hat den Anschein, als sei dieser Teil durch die Zeit unleserlich geworden und dann um das vollständige Verlorengehen zu verhindern copiert und statt der verdorbenen Blätter in die Handschrift einverleibt. Später habe ich auch im cod. Vindobonensis 103 (Lambecius VII, S. 391), der mit einer Liberalität, die jetzt wohl überall (Italien natürlich ausgenommen) angetroffen wird, aber deshalb nicht minder zum Dank verpflichtet, zu meinem Gebrauche an die königliche Bibliothek in Kopenhagen versandt worden war, dieselbe Fassung angetroffen; meine Notizen aus Florentinus reichten vollständig zu, um die Identität sicherzustellen. Cod. Vindob. 103, von Lambecius a. O. als antiquissimus bezeichnet, wurde von A. Busbeckius aus Konstantinopel mitgebracht; der erste Teil ist auf Pergament und kann dem XI. oder XII. saec. zugeschrieben werden; der Schlufs, darunter die ganze Optik, ist dagegen bombycinus aus dem XIII. saec., wie es scheint. Die Handschrift enthält wie Flor. XXVIII 3[1]) die Elemente, die Optik und die *φαινόμενα* mit vielen Scholien. Nach dieser Handschrift teile ich hier jene bessere Redaktion der Optik mit, indem ich mir wegen der Unvollständigkeit der handschriftlichen Grundlage nur die allernotwendigsten Verbesserungen erlaube.

1) Cod. Florent. XXVIII 6 saec. XIII, der ebenso Elemente, Optik und *φαινόμενα* mit Scholien enthält, konnte für die Optik nicht verglichen werden.

Εὐκλείδου ὀπτικοὶ ὅροι.

1. Ὑποκείσθω τὰς ἀπὸ τοῦ ὄμματος ἐξαγομένας εὐθείας γραμμὰς φέρεσθαι διάστημα μεγεθῶν μεγάλων.

2. καὶ τὸ [μὲν] ὑπὸ τῶν ὄψεων περιεχόμενον σχῆμα εἶναι κῶνον τὴν κορυφὴν μὲν ἔχοντα ἐν τῷ ὄμματι τὴν δὲ βάσιν πρὸς τοῖς πέρασι τῶν ὁρωμένων.

3. καὶ ὁρᾶσθαι μὲν ταῦτα, πρὸς ἃ ἂν αἱ ὄψεις προσπίπτωσι, μὴ ὁρᾶσθαι δέ, πρὸς ἃ ἂν μὴ προσπίπτωσιν αἱ ὄψεις.

4. καὶ τὰ μὲν ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεσθαι τὰ δὲ ὑπὸ ἐλάττονος ἐλάττονα, ἴσα δὲ τὰ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα.

5. καὶ τὰ μὲν ὑπὸ μετεωροτέρων ἀκτίνων ὁρώμενα μετεωρότερα φαίνεσθαι, τὰ δὲ ὑπὸ ταπεινοτέρων ταπεινότερα.

6. καὶ ὁμοίως τὰ μὲν ὑπὸ δεξιωτέρων ἀκτίνων ὁρώμενα δεξιώτερα φαίνεσθαι, τὰ δὲ ὑπὸ ἀριστερωτέρων ἀριστερώτερα.

7. τὰ δὲ ὑπὸ πλειόνων γωνιῶν ὁρώμενα ἀκριβέστερον φαίνεσθαι.

α'.

Οὐδὲν τῶν ὁρωμένων ἅμα ὅλον ὁρᾶται.

ἔστω γὰρ ὁρώμενόν τι τὸ ΑΔ, ὄμμα δὲ ἔστω τὸ Β, ἀφ' οὗ προσπιπτέτωσαν ὄψεις αἱ ΒΑ, ΒΓ, ΒΚ, ΒΔ. οὐκοῦν ἐπεὶ ἐν διαστήματι φέρονται αἱ προσπίπτουσαι ὄψεις, οὐκ ἂν προσπίπτοιεν συνεχεῖς πρὸς τὸ ΑΔ· ὥστε γένοιντο ἂν καὶ κατα τὸ ΑΔ διαστήματα, πρὸς ἃ αἱ ὄψεις οὐ προσπεσοῦνται. οὐκ ἄρα ὀφθήσεται ὅλον ἅμα τὸ ΑΔ. δοκεῖ δὲ ὁρᾶσθαι ἅμα τῶν ὄψεων ταχὺ παραφερομένων.

β'.

Τῶν ἴσων μεγεθῶν ἐν διαστήματι κειμένων τὰ ἔγγιον κείμενα ἀκριβέστερον ὁρᾶται.

ἔστω ὄμμα μὲν τὸ Β, ορώμενα δὲ τὸ ΓΔ καὶ τὸ ΚΛ, χρὴ δὲ νοεῖν αὐτὰ ἴσα καὶ παράλληλα, ἔγγιον δὲ ἔστω τὸ ΓΔ, καὶ προσπιπτέσωσαν ὄψεις αἱ ΒΓ, ΒΔ, ΒΚ, ΒΛ. οὐ γὰρ ἂν εἴποιμεν, ὡς αἱ ἀπὸ τοῦ ὄμματος πρὸς τὸ ΚΛ προσπίπτουσαι ὄψεις διὰ τῶν Γ, Δ σημείων ἐλεύσονται. ἡ γὰρ τριγώνου τοῦ ΒΔΛΚΓΒ ἡ ΚΛ μείζων ἂν ἦν τῆς ΓΔ. ὑπόκειται δὲ καὶ ἴση. οὐκοῦν τὸ ΓΔ ὑπὸ πλειόνων ὄψεων ὁρᾶται ἤπερ τὸ ΚΛ. ἀκριβέστερον ἄρα φανήσεται τὸ ΓΔ τοῦ ΚΛ· τὰ γὰρ ὑπὸ πλειόνων γωνιῶν ὁρώμενα ἀκριβέστερον φαίνεται.

γ'.

Ἕκαστον τῶν ὁρωμένων ἔχει τι μῆκος ἀποστήματος, οὗ γενόμενον οὐκέτι ὁρᾶται.

10. ἐλαττονα] ἐλάσσονα cod. Vindob. 103. 27. ἔγγειον (corr. m. 1), ut lin. 30. 29. ὁρώμενα] corr. ex ὁρώμενον m. 1. 32. εἴπομεν. 35. ὑπόκειται] corr. ex ὑποκείσθω m. 2. 40. γενόμενον] corr. ex γενομένου m. 2.

ἔστω γὰρ ὄμμα μὲν τὸ Β, ὁρώμενον δὲ τὸ ΓΔ. φημὶ δή, ὅτι τὸ ΓΔ ἔν τινι ἀποστήματι γενόμενον οὐκέτι ὁραθήσεται. γεγενήσθω γὰρ τὸ ΓΔ ἐν τῷ μεταξὺ διαστήματι τῶν ὄψεων, ἐφ' οὗ τὸ Κ. οὐκοῦν πρὸς τὸ Κ οὐδεμία τῶν ἀπὸ τοῦ Β ὄψεων προσπεσεῖται· πρὸς ὃ δὲ αἱ ὄψεις οὐ προσπίπτουσιν, ἐκεῖνο οὐχ ὁρᾶται. ἕκαστον ἄρα τῶν ὁρωμένων ἔχει τι μῆκος ἀποστήματος, οὗ γενόμενον οὐκέτι ὁρᾶται.

δ'.

Τῶν ἴσων διαστημάτων καὶ ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντων τα ἐκ πλείονος διαστήματος ὁρώμενα ἐλάττονα φαίνεται.

ἔστω ἴσα διαστήματα [τὰ] ἐπὶ μιᾶς εὐθείας τὰ ΑΒ, ΒΓ, ΓΔ, καὶ ἀνήχθω πρὸς ὀρθὰς ἡ ΑΕ, ἐφ' ἧς κείσθω ὄμμα τὸ Ε. λέγω, ὅτι μεῖζον φανήσεται τὸ μὲν ΑΒ τοῦ ΒΓ, τὸ δὲ ΒΓ τοῦ ΓΔ. προσπιπτέτωσαν γὰρ ἀκτῖνες αἱ ΕΒ, ΕΓ, καὶ ἤχθω διὰ τοῦ Β σημείου τῇ ΓΕ εὐθείᾳ παράλληλος ἡ ΒΖ. ἴση ἄρα ἐστὶν ἡ ΑΖ τῇ ΖΕ. ἐπεὶ γὰρ τριγώνου τοῦ ΑΕΓ παρὰ μίαν τῶν πλευρῶν τὴν ΓΕ ἦκται εὐθεῖα ἡ ΒΖ, ἔστιν ἄρα καί, ὡς ἡ ΓΒ πρὸς ΒΑ, ἡ ΕΖ πρὸς ΖΑ. ἴση ἄρα ἐστὶν ἡ ΑΖ, ὡς εἴρηται, τῇ ΖΕ. μείζων δὲ πλευρὰ ἡ ΒΖ τῆς ΖΑ. μείζων ἄρα καὶ τῆς ΖΕ. μείζων ἄρα καὶ γωνία ἡ ὑπὸ ΖΕΒ γωνίας τῆς ὑπὸ ΖΒΕ. ἡ δὲ ὑπὸ ΖΒΕ τῇ ὑπὸ ΒΕΓ ἴση. καὶ ἡ ὑπὸ ΖΕΒ ἄρα τῆς ὑπὸ ΓΕΒ γωνιας μείζων ἐστίν. μείζων ἄρα ὀφθήσεται ἡ ΑΒ τῆς ΒΓ. πάλιν ὁμοίως κἂν διὰ τοῦ Γ σημείου τῇ ΔΕ παράλληλος ἀχθῇ, μείζων ὀφθήσεται ἡ ΒΓ τῆς ΓΔ.

ε'.

Τὰ ἴσα μεγέθη ἄνισον διεστηκότα ἄνισα φαίνεται, καὶ μεῖζον ἀεὶ τὸ ἔγγιον κείμενον τοῦ ὄμματος.


ἔστω δύο ἴσα μεγέθη τὰ ΑΒ, ΓΔ, ὄμμα δὲ ἔστω τὸ Ε, ἀφ' οὗ ἄνισον διεστηκέτω, καὶ ἔστω ἔγγιον τὸ ΑΒ. λέγω, ὅτι μεῖζον φανήσεται τὸ ΑΒ. προσπιπτέτωσαν ἀκτῖνες αἱ ΑΕ, ΕΒ, ΕΓ, ΕΔ. ἐπεὶ οὖν τὰ ὑπὸ μειζόνων γωνιῶν ὁρώμενα μείζονα φαίνεται, μείζων δὲ γωνία ἡ ὑπὸ ΑΕΒ τῆς ὑπὸ ΓΕΔ, μείζων ἄρα φανήσεται καὶ ἡ ΑΒ τῆς ΓΔ.

8. γενόμενον] corr. ex γενομένου m. 2. 12. τά] del. m. 2. 13. ΑΕ] Ε in ras. 18. ἐπεί] corr. ex ἐπί. 22. δέ] corr. ex δή. μείζων ἄρα — 23. ἄρα] (alt.) in ras. 24. γωνίας] γωνία. τῆς] manu 2, τῇ manu 1. ΖΒΕ] Ε in ras. ἡ δὲ] in ras. 27. αχθῇ] in ras. 31. ἔγγειον; corr. m. 1, ut lin. 34, p. 95 l. 6. 37. ΑΕΒ] τῶν ΑΕΒ, sed τῶν deletum.

ϛʹ.


Τὰ παράλληλα τῶν διαστημάτων ἐξ ἀποστήματος ὁρώμενα ἀνισοπλατῆ φαίνεται.

ἔστω δύο παράλληλα μεγέθη τὰ ΑΒ, ΓΔ, ὄμμα δὲ ἔστω τὸ Ε. λέγω, ὅτι τὰ ΑΒ, ΓΔ ἀνισοπλατῆ φαίνεται, καὶ μεῖζον ἀεὶ τὸ ἔγγιον διάστημα τοῦ πορρώτερον. προσπιπτέτωσαν ἀκτῖνες αἱ ΕΒ, ΕΖ, ΕΘ, ΕΔ, ΕΗ, ΕΚ, καὶ ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ΒΔ, ΖΗ, ΘΚ. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ ὑπὸ ΒΕΔ γωνία τῆς ὑπὸ ΖΕΗ γωνίας, μείζων ἄρα καὶ ἡ ΒΔ τῆς ΖΗ φαίνεται. πάλιν ἐπεὶ μείζων ἡ ὑπὸ ΖΕΗ γωνία τῆς ὑπὸ ΘΕΚ γωνίας, μείζων ἄρα καὶ ἡ ΖΗ τῆς ΘΚ φαίνεται. μεῖζον ἄρα τὸ μὲν ΒΔ διάστημα τοῦ ΖΗ, τὸ δὲ ΖΗ τοῦ ΘΚ. οὐκέτι οὖν ὀφθήσεται παράλληλα ὄντα τὰ διαστήματα ἐπ᾽ ἴσης, ἀλλ᾽ ἀνισοπλατῆ.



ζʹ.

Ἐπὶ τῶν ἐν μετεώρῳ κειμένων διαστημάτων καθιέσθω ἀπὸ τοῦ Α σημείου ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος ἡ ΑΒ, καὶ ἔστωσαν παράλληλοι αἱ ΛΞ, ΚΝ, ΘΜ. λέγω, ὅτι καὶ οὕτως ἀνισοπλατῆ φαίνεται τὰ ΓΔ, ΕΖ μεγέθη. ἤχθω κάθετος ἀπὸ τοῦ Β ἐπὶ τὴν ΛΞ ἡ ΒΡ, καὶ ἐκβεβλήσθω ἡ ΒΡ ἐπὶ τὸ Ο, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΑΛ, ΑΚ, ΑΘ, ΑΞ, ΑΝ, ΑΜ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΡ, ΑΠ, ΑΟ. ἐπεὶ οὖν ἀπὸ μετεωροτέρου σημείου τοῦ Α ἐπὶ τὴν ΡΞ ἐπέζευκταί τις εὐθεῖα ἡ ΑΡ, ἡ ΑΡ ἄρα ἐπὶ τὴν ΡΞ κάθετός ἐστιν, καὶ ἡ ΑΟ ἐπὶ τὴν ΟΜ, καὶ ἡ ΑΠ ἐπὶ τὴν ΠΝ. ὀρθογώνια ἄρα ἐστὶ τὰ ΑΡΞ, ΑΠΝ, ΑΟΜ τρίγωνα. ἐπεὶ οὖν ὀρθογώνιά ἐστι, καί ἐστιν ἡ μὲν ΠΝ τῇ ΡΞ ἴση, ἡ δὲ ΠΑ τῆς ΑΡ μείζων, μείζων ἄρα γωνία ἡ ὑπὸ ΞΑΡ τῆς ὑπὸ τῶν ΠΑΝ. μεῖζον ἄρα καὶ ὀφθήσεται τὸ ΡΞ τοῦ ΠΝ. ὁμοίως καὶ τὸ ΡΛ τοῦ ΠΚ μεῖζον. ὅλον ἄρα τὸ ΛΞ ὅλου τοῦ ΚΝ ὀφθήσεται μεῖζον. ἀνισοπλατῆ ἄρα καὶ οὕτως ὀφθήσεται τὰ μεγέθη.




ηʹ.

Τὰ ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντα ἴσα μεγέθη μὴ ἐφεξῆς ἀλλήλοις τεθέντα καὶ ἄνισον διεστηκότα τοῦ ὄμματος ἄνισα φαίνεται.

22. καί] om. 35. μείζων] (prius) in ras. (fuit μέρος).


ἔστω δύο ἴσα μεγέθη τὰ ΑΒ, ΓΔ ἐπὶ τῆς αὐτῆς εὐθείας τῆς ΑΔ μὴ ἐφεξῆς ἀλλήλοις ὄντα καὶ ἄνισον διεστηκότα ἀπὸ τοῦ ὄμματος τοῦ Ε, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΕΑ, ΕΔ, καὶ ἔστω μείζων ἡ ΕΑ τῆς ΕΔ. λέγω, ὅτι ἡ ΓΔ τῆς ΑΒ μείζων φανήσεται. προσπιπτέτωσαν ἀκτῖνες αἱ ΕΒ, ΕΓ, καὶ περιγεγράφθω περὶ τὸ ΑΕΔ τρίγωνον κύκλος ὁ ΑΕΔ. καὶ προσεκβεβλήσθωσαν ταῖς ΕΒ, ΕΓ εὐθείαις εὐθεῖαι αἱ ΒΖ, ΓΗ, καὶ ἀνεστάτωσαν ἀπὸ τῶν Β, Γ σημείων πρὸς ὀρθὰς γωνίας ἴσαι [αὐταῖς] εὐθεῖαι αἱ ΒΘ, ΓΚ. ἔστιν δὲ ἴση ἡ ΑΒ τῇ ΓΔ, ἀλλὰ καὶ γωνία ἡ ὑπὸ ΑΒΘ τῇ ὑπὸ ΔΓΚ ἐστιν ἴση. καὶ περιφέρεια ἄρα ἡ ΑΘ περιφερείᾳ τῇ ΔΚ ἐστιν ἴση. ἡ ΚΔ ἄρα περιφέρεια τῆς ΖΑ περιφερείας μείζων ἐστίν. πολλῷ ἄρα ἡ ΗΔ περιφέρεια τῆς ΖΑ μείζων ἐστίν. ἀλλ' ἐπὶ μὲν τῆς ΖΑ περιφερείας ἡ ὑπὸ ΑΕΖ γωνία βέβηκεν, ἐπὶ δὲ τῆς ΗΔ περιφερείας ἡ ὑπὸ ΗΕΔ. ἡ ἄρα ὑπὸ ΗΕΔ γωνία τῆς ὑπὸ ΑΕΖ μείζων ἐστίν. ἀλλ' ὑπὸ μὲν τῆς ὑπὸ ΑΕΖ ἡ ΑΒ βλέπεται, ὑπὸ δὲ τῆς ὑπὸ ΗΕΔ ἡ ΓΔ. μείζων ἄρα ἡ ΓΔ τῆς ΑΒ φαίνεται.



θ'.

Τὰ ἴσα μεγέθη καὶ παράλληλα ἄνισον διεστηκότα ἀπὸ τοῦ ὄμματος οὐκ ἀναλόγως τοῖς διαστήμασιν ὁρᾶται.

ἔστω δύο μεγέθη τὰ ΑΒ, ΓΔ ἄνισον διεστηκότα ἀπὸ τοῦ ὄμματος τοῦ Ε. λέγω, ὅτι οὐκ ἐστιν, ὡς φαίνεται ἔχον, ὡς τὸ ΓΔ πρὸς τὸ ΑΒ, οὕτως τὸ ΒΕ πρὸς τὸ ΕΔ. προσπιπτέτωσαν γὰρ ἀκτῖνες αἱ ΑΕ, ΕΓ, καὶ κέντρῳ μὲν τῷ Ε διαστήματι δὲ τῷ ΕΖ κύκλου γεγράφθω περιφέρεια ἡ ΗΖΘ. ἐπεὶ οὖν τὸ ΕΖΓ τρίγωνον τοῦ ΕΖΗ τομέως μεῖζόν ἐστιν, τὸ δὲ ΕΖΔ τρίγωνον τοῦ ΕΖΘ τομέως ἔλαττόν ἐστιν, τὸ ΕΖΓ ἄρα τρίγωνον πρὸς τὸν ΕΖΗ τομέα μείζονα λόγον ἔχει ἤπερ τὸ ΕΖΔ τρίγωνον πρὸς τὸν ΕΖΘ τομέα. καὶ ἐναλλὰξ τὸ ΕΖΓ τρίγωνον πρὸς τὸ ΕΖΔ τρίγωνον μείζονα λόγον ἔχει ἤπερ ὁ ΕΖΗ τομεὺς πρὸς τὸν ΕΖΘ τομέα, καὶ συνθέντι τὸ ΕΓΔ τρίγωνον πρὸς τὸ ΕΖΔ τρίγωνον μείζονα λόγον ἔχει ἤπερ ὁ ΕΗΘ τομεὺς πρὸς τὸν ΕΖΘ τομέα. ἀλλ' ὡς τὸ ΕΔΓ πρὸς τὸ ΕΖΔ τρίγωνον, οὕτως ἡ ΓΔ πρὸς τὴν




9. ΕΓ] sequitur ras. unius litterae. 12. ΒΘ, ΓΚ] Θ et Κ e corr. 14. ΔΓΚ] in ras. 15. ΔΚ] in ras. 17. τῆς — περιφερείας] τὴν — περιφέρειαν, ut lin. 18. 26. ὡς] om. 38. τόν] τήν.

ΔΖ. ἡ δὲ ΓΔ τῇ ΑΒ ἐστιν ἴση, καὶ ὡς ἡ ΑΒ πρὸς τὴν ΔΖ, ἡ ΒΕ πρὸς τὴν ΕΔ. ἡ ΒΕ ἄρα πρὸς τὴν ΕΔ μείζονα λόγον ἔχει ἤπερ ὁ ΕΗΘ τομεὺς πρὸς τὸν ΕΖΘ τομέα. ὡς δὲ ὁ τομεὺς πρὸς τὸν τομέα, οὕτως ἡ ὑπὸ ΗΕΘ γωνία πρὸς τὴν ὑπὸ ΖΕΘ γωνίαν. ἡ ΒΕ ἄρα πρὸς τὴν ΕΔ μείζονα λόγον ἔχει ἤπερ ἡ ὑπὸ ΗΕΘ γωνία πρὸς τὴν ὑπὸ ΖΕΘ. καὶ ἐκ μὲν τῆς ὑπὸ ΗΕΘ γωνίας βλέπεται τὸ ΓΔ, ἐκ δὲ τῆς ὑπὸ ΖΕΘ τὸ ΑΒ. οὐκ ἀνάλογον ἄρα τοῖς ἀποστήμασιν ὁρᾶται τὰ ἴσα μεγέθη.

ι'.

Τὰ ὀρθογώνια μεγέθη ἐξ ἀποστήματος ὁρώμενα περιφερῆ φαίνεται.




ἔστω γὰρ ὀρθογώνιον τὸ ΒΓ. ἔστω καὶ μετέωρον ἐξ ἀποστήματος ὁρώμενον. οὐκοῦν ἐπεὶ ἕκαστον τῶν ὁρωμένων ἔχει τι μῆκος ἀποστήματος, οὗ γενόμενον οὐκέτι ὁρᾶται, ἡ μὲν Γ ἄρα γωνία οὐχ ὁρᾶται, τὰ δὲ Δ, Ζ σημεῖα μόνον φαίνεται. ὁμοίως καὶ ἐφ' ἑκάστης τῶν λοιπῶν γωνιῶν τοῦτο συμβήσεται. ὥστε ὅλον περιφερὲς φανήσεται.

ια'.

Τῶν κάτω τοῦ ὄμματος κειμένων ἐπιπέδων τὰ πόρρω μετεωρότερα φαίνεται.

ἔστω ὄμμα τὸ Α μετεωρότερον κείμενον τοῦ ΒΕΓ, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΑΒ, ΑΕ, ΑΔ, ΑΓ, ὧν ἡ ΑΒ κάθετος ἔστω ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον. λέγω, ὅτι τὸ ΓΔ τοῦ ΔΕ μετεωρότερον φαίνεται, τὸ δὲ ΔΕ τοῦ ΒΕ. εἰλήφθω γὰρ ἐπὶ τῆς ΒΕ τυχὸν σημεῖον κατὰ τὸ Ζ, καὶ ἤχθω πρὸς ὀρθὰς ἡ ΖΗ. καὶ ἐπεὶ αἱ ὄψεις πρότερον πρὸς τὴν ΖΗ προσπίπτουσιν ἤπερ πρὸς τὴν ΖΓ, προσπιπτέτω τῇ ΖΗ ἡ μὲν ΑΓ κατὰ τὸ Η σημεῖον, ἡ δὲ ΑΔ κατὰ τὸ Θ, ἡ δὲ ΑΕ κατὰ τὸ Κ. ἐπεὶ οὖν τὸ Η τοῦ Θ ἐστι μετεωρότερον, τὸ δὲ Θ τοῦ Κ, ἀλλ' ἐν ᾧ ἐστι τὸ Η, ἐν τούτῳ τὸ Γ, ἐν ᾧ δὲ τὸ Θ, ἐν τούτῳ τὸ Δ, ἐν ᾧ δὲ τὸ Κ, ἐν τούτῳ τὸ Ε, διὰ δὲ τῶν ΑΓ, ΑΔ ἡ ΔΓ φαίνεται, διὰ δὲ τῶν ΑΔ, ΑΕ ἡ ΔΕ, ἡ ΓΔ ἄρα τῆς ΔΕ μετεωροτέρα φαίνεται. ὁμοίως καὶ ἡ ΔΕ τῆς ΒΕ με-



1. ΔΖ (utrumque)] δξ. 4. ΗΕΘ] in ras. ΖΕΘ] in ras. 5. ΒΕ] βεα; corr. m. 2. πρὸς τὴν ΕΔ] γωνία; corr. in εὐθεῖα πρὸς τὴν ΕΔ. 6. βλέπεται] μεῖζον. 11. καί] supra per comp., ut lin. 28. 14. γενόμενον] γενομένου. Γ] γάρ (per comp.) γ. 16. ἑκάστης] ἑκάστην. 18. φανήσεται] συμβήσεται. 36. ΑΓ, ΑΔ] αγ (γ in ras.); corr. m. 1. ΑΔ, ΑΕ] εδ; corr. m. 1.

τεωροτέρα φανήσεται. τὰ γὰρ ὑπὸ μετεωροτέρων ἀκτίνων ὁρώμενα μετεωρότερα φαίνεται.

καὶ φανερόν, ὅτι τὰ ἐν μετεώρῳ κείμενα κοῖλα φανήσεται.

ιβʹ.

Τῶν ἄνω τοῦ ὄμματος κειμένων ἐπιπέδων τὰ πόρρω ταπεινότερα φαίνεται.

ἔστω ὄμμα τὸ Α ταπεινότερον κείμενον τοῦ ΒΓ ἐπιπέδου, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΒΑ, ΑΔ, ΑΕ, ΑΓ, ὧν ἡ ΑΒ κάθετος ἔστω ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον. λέγω, ὅτι τὸ ΓΕ τοῦ ΕΔ ταπεινότερον φαίνεται. διὰ δὴ τὸ προεκτεθὲν θεώρημα ταπεινοτέρα ἡ μὲν ΑΓ ἀκτὶς τῆς ΑΕ, ἡ δὲ ΑΕ τῆς ΑΔ, ἡ δὲ ΑΔ τῆς ΑΒ. ἀλλὰ διὰ μὲν τῶν ΓΑ, ΑΕ τὸ ΓΕ βλέπεται, διὰ δὲ τῶν ΕΑ, ΑΔ τὸ ΕΔ, διὰ δὲ τῶν ΔΑ, ΑΒ τὸ ΔΒ φαίνεται. τὸ ΓΕ ἄρα τοῦ ΕΔ ταπεινότερον φαίνεται, τὸ δὲ ΕΔ τοῦ ΔΒ.


ιγʹ.

Τῶν εἰς τοὔμπροσθεν μῆκος ἐχόντων τὰ μὲν ἐν τοῖς δεξιοῖς εἰς τὰ ἀριστερὰ δοκεῖ παρῆχθαι, τὰ δὲ ἐν τοῖς ἀριστεροῖς εἰς τὰ δεξιά.

ἔστω δύο ὁρώμενα μεγέθη τὰ ΑΒ, ΓΔ, ὄμμα δὲ ἔστω τὸ Ε, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΕΘ, ΕΚ, ΕΑ, ΕΖ, ΕΗ, ΕΓ. λέγω, ὅτι αἱ μὲν ΕΖ, ΕΗ, ΕΓ δοκοῦσιν εἰς τὰ ἀριστερὰ μετῆχθαι, αἱ δὲ ΕΘ, ΕΚ, ΕΑ εἰς τὰ δεξιά. ἐπεὶ γὰρ ἡ ΕΖ τῆς ΕΗ ἐστι δεξιωτέρα, ἡ δὲ ΕΗ τῆς ΕΓ, ἐντεῦθεν ἄρα ἡ ΕΓ τῆς ΕΗ δοκεῖ εἰς τὰ ἀριστερὰ μετῆχθαι, ἡ δὲ ΗΕ τῆς ΕΖ. ὁμοίως καὶ αἱ ΕΚ, ΕΑ, ΕΘ δοκοῦσιν εἰς τὰ δεξιὰ μετῆχθαι.

ιδʹ.

Τῶν ἴσων μεγεθῶν καὶ ὑπὸ τὸ αὐτὸ ὄμμα κειμένων τὰ πόρρω μετεωρότερα φαίνεται.




ἔστω ἴσα μεγέθη τὰ ΑΒ, ΓΔ, ΕΖ, ὄμμα δὲ ἔστω τὸ Η μετεωρότερον κείμενον τῶν μεγεθῶν, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΗΑ, ΗΓ, ΗΕ. λέγω, ὅτι τὸ ΑΒ τοῦ ΓΔ μετεωρότερον φαίνεται, τὸ δὲ ΓΔ τοῦ ΕΖ. ἐπεὶ γὰρ ἡ ΗΑ τῆς ΗΓ ἐστι μετεωροτέρα, ἡ δὲ ΗΓ τῆς ΗΕ, καὶ ἐν ᾧ εἰσιν αἱ ΗΑ, ΗΓ, ΗΕ,

17. ΔΒ] δε. 29. αἱ] om. 40. ᾧ] οἷς m. 2.

ἐν τούτῳ ἐστι καὶ τὰ A, $Γ$, E σημεῖα, ἐν ᾧ δὲ τὰ A, $Γ$, E, ἐν τούτῳ καὶ τὰ AB, $ΓΔ$, EZ μεγέθη, τὸ AB ἄρα τοῦ $ΓΔ$ μετεωρότερον φαίνεται, τὸ δὲ $ΓΔ$ τοῦ EZ.

ιε'.

Τῶν ἴσων μεγεθῶν καὶ ἀνωτέρω τοῦ ὄμματος κειμένων τὰ πόρρω ταπεινότερα φαίνεται.




ἔστω ἴσα μεγέθη τὰ AB, $ΓΔ$, EZ μετεωρότερα κείμενα τοῦ ὄμματος τοῦ H. λέγω, ὅτι τὸ AB τοῦ $ΓΔ$ ταπεινότερον φαίνεται, τὸ δὲ $ΓΔ$ τοῦ EZ. προσπιπτέτωσαν ἀκτῖνες αἱ HB, $HΔ$, HZ. ἐπεὶ οὖν ἡ HB ἀκτὶς τῆς $HΔ$ ἐστι ταπεινοτέρα, ἡ δὲ $HΔ$ τῆς HZ, ἀλλ' ἐν ᾧ εἰσιν αἱ HB, $HΔ$, HZ, ἐν τούτῳ ἐστὶ καὶ τὰ B, $Δ$, Z σημεῖα, ἐν ᾧ δὲ τὰ B, $Δ$, Z, ἐν τούτῳ καὶ τὰ AB, $ΓΔ$, EZ μεγέθη, τὸ μὲν AB ἄρα τοῦ $ΓΔ$ ταπεινότερον φαίνεται, τὸ δὲ $ΓΔ$ τοῦ EZ ταπεινότερόν ἐστιν: ∾ ἑξῆς.

ις'.

Ὅσα ἀλλήλων ὑπερέχει ὑπὸ τὸ αὐτὸ ὄμμα κείμενα, προσιόντος μὲν τοῦ ὄμματος μείζονι μεῖζον τὸ ὑπερφαινόμενον φαίνεται, ἀπιόντος δὲ ἐλάσσονι.

ἔστω δύο ἄνισα μεγέθη τὰ AB, $ΓΔ$, μεῖζον δὲ ἔστω τὸ AB, ὄμμα δὲ ἔστω τὸ E, ἀφ' οὗ προσπιπτέτω ἀκτὶς διὰ τοῦ $Γ$ ἡ EZ.




ἐπεὶ οὖν ὑπὸ τοῦ ὄμματος καὶ τῆς EZ ἀκτῖνος τὰ ZB, $ΓΔ$ φαίνεται, τὸ AB ἄρα τοῦ $ΓΔ$ ὕπερθεν φαίνεται τῷ AZ μεγέθει. μετακείσθω τὸ ὄμμα ἐγγυτέρω, καὶ ἔστω τὸ H, ἀφ' οὗ προσπιπτέτω ἀκτὶς διὰ τοῦ $Γ$ ἡ $HΘ$. ἐπεὶ οὖν ὑπὸ τοῦ ὄμματος καὶ τῆς $HΘ$ ἀκτῖνος φαίνεται τὸ $ΓΔ$ καὶ τὸ $ΘB$, τὸ AB ἄρα τοῦ $ΓΔ$ μεῖζον φανήσεται τῷ $AΘ$. ἐβλέπετο δὲ ὑπὸ τοῦ E τῷ AZ μεῖζον, μεῖζον δὲ τὸ $AΘ$ τοῦ AZ. προσιόντος μὲν ἄρα τοῦ ὄμματος μεῖζον τὸ ὑπερφαινόμενον φαίνεται μείζονι, ἀπιόντος δὲ ἐλάττονι [φαίνεται τὸ ὑπερφαινόμενον μεῖζον].

1. τούτῳ] τούτοις, ut lin. 14. ᾧ] οἷς m. 2. $Γ$, E] corr. ex ηϑ? 10. ἐπεὶ οὖν ad prius HZ lin. 12 bis, sed expunctum. 19. μείζονι μεῖζον] -ζονι μεῖ- postea additum. 30. τὸ $ΓΔ$ καί] mg. m. 2. $ΘB$] β in ras. est. 32. AZ μεῖζον] αζ.

ιζʹ.

Ὅσα ἀλλήλων ὑπερέχει ἐπάνω τοῦ ὄμματος ἄνισα μεγέθη, προσιόντος μὲν τοῦ ὄμματος ἐλάσσονι μεῖζον φαίνεται τὸ ὑπερφαινόμενον, ἀπιόντος δὲ μείζονι.


ἔστω ἄνισα μεγέθη τὰ *ΑΒ*, *ΓΔ*, ὧν μεῖζον τὸ *ΑΒ*. ἔστω ὄμμα τὸ *Ε*, ἀφ' οὗ προσπιπτέτω ἀκτὶς διὰ τοῦ *Γ* ἡ *ΕΖ*. ἐπεὶ οὖν ὑπὸ τῆς *ΕΖ* ἀκτῖνος ἀπολαμβάνεται τὰ *ΖΒ*, *ΓΔ* μεγέθη, τὰ *ΒΖ*, *ΓΔ* ἄρα ἴσα ἀλλήλοις φαίνεται. τὸ *ΑΒ* ἄρα τοῦ *ΓΔ* μεῖζον φαίνεται τῷ *ΑΖ* μεγέθει. προσήχθω δὴ τὸ ὄμμα ἐγγυτέρω καὶ ἔστω τὸ *Η*, ἀφ' οὗ προσπιπτέτω ἀκτὶς διὰ τοῦ *Γ* ἡ *ΗΘ*. ἐπεὶ οὖν ὑπὸ τῆς *ΗΘ* ἀκτῖνος ἀπολαμβάνεται τὰ *ΒΘ*, *ΓΔ*, ὑπὸ δὲ τῆς *ΕΖ* τὰ *ΖΒ*, *ΓΔ*, ἔστι δὲ τὸ *ΖΑ* τοῦ *ΑΘ* μεῖζον, προσιόντος μὲν ἄρα τοῦ ὄμματος ἐλάσσονι μεῖζον τὸ ὑπερφαινόμενον φαίνεται, ἀπιόντος δὲ μείζονι μεῖζον: ∾ ἑξῆς.



ιηʹ.

Ὅσα ἀλλήλων ὑπερέχει, ἐπ' εὐθείας τῷ ἐλάττονι μεγέθει τοῦ ὄμματος προσιόντος τε καὶ ἀφισταμένου τῷ ἴσῳ ἀεὶ δόξει τὸ ὑπερφαινόμενον τοῦ ἐλάττονος ὑπερέχειν.

ἔστω δύο ἄνισα μεγέθη τὰ *ΑΒ*, *ΓΔ*, ὧν μεῖζον τὸ *ΑΒ*, ὄμμα δὲ ἔστω τὸ *Ζ* ἐπ' εὐθείας κείμενον τῷ πέρατι τοῦ *ΓΔ* μεγέθους τῷ *Γ*. λέγω, ὅτι τοῦ *Ζ* ὄμματος προσιόντος καὶ ἀφισταμένου ἐπ' εὐθείας ὄντος τῷ ἴσῳ δόξει ὑπερφαίνεσθαι τὸ *ΑΒ* τοῦ *ΓΔ*. προσπιπτέτω γὰρ ἀκτὶς διὰ τοῦ *Γ* ἡ *ΖΕ*. τὸ *ΑΒ* ἄρα τοῦ *ΓΔ* ὑπερφαίνεται τῷ *ΑΕ*. μετακεκινήσθω δὴ τὸ ὄμμα καὶ ἔστω ἀπωτέρω, καὶ ἔστω ἐπ' εὐθείας τὸ *Η*. ἡ ἄρα ἀπὸ τοῦ *Η* ὄμματος ἀκτὶς προσπίπτουσα ἐλεύσεται διὰ τοῦ *Γ* σημείου καὶ προσενεχθήσεται μέχρι τοῦ *Ε* σημείου, καὶ τῷ αὐτῷ ὑπερφανήσεται τὸ *ΑΒ* τοῦ *ΓΔ*.




ιθʹ.

Τὸ δοθὲν ὕψος γνῶναι, πηλίκον ἐστίν, ἡλίου φαίνοντος.

ἔστω τὸ δοθὲν ὕψος τὸ *ΑΒ* καὶ δέον αὐτὸ γνῶναι, πηλίκον ἐστίν. ἔστω μὲν ὄμμα τὸ *Δ* ἡλίου δὲ ἀκτὶς ἡ *ΓΑ* συμβάλλουσα τῷ πέρατι τοῦ *ΑΒ* μεγέθους καὶ διήχθω μέχρι τοῦ *Δ* ὄμματος. ἔστω δὲ σκιὰ ἡ *ΔΒ* τοῦ *ΑΒ*. καὶ κείσθω ἕτερόν τι μέγεθος τὸ *ΕΖ* συμβάλ-

2. ἐπάνω] supra. 3. ἐλάσσονι] supra. 4. μείζονι] in ras. 7. ΖΒ] in ras. 24. τοῦ Ζ] τὸ ζ m. 1; τῷ γ τοῦ m. 2. 30. ἀποτέρω.


λον τῇ ἀκτῖνι μὴ πάντως καταυγαζόμενον ὑπ' αὐτῆς κατὰ τὸ Ζ πέρας. ἥρμοσται οὖν εἰς τὸ ΑΒΔ τρίγωνον ἕτερόν τι τρίγωνον τὸ ΕΖΔ. ἔστιν ἄρα, ὡς ἡ ΔΕ πρὸς τὴν ΖΕ, οὕτως ἡ ΔΒ πρὸς τὴν ΒΑ. ἀλλ' ὁ τῆς ΔΕ πρὸς τὴν ΕΖ λόγος ἐστὶ γνώριμος· καὶ ὁ τῆς ΔΒ ἄρα πρὸς τὴν ΒΑ λόγος ἐστὶ γνώριμος. γνώριμον δὲ τὸ ΔΒ. γνώριμον ἄρα καὶ τὸ ΑΒ : ∼ ἑξῆς.



κ'.

Μὴ ὑπάρχοντος ἡλίου τὸ δοθὲν ὕψος γνῶναι, πηλίκον ἐστίν.

ἔστω τι [μεγέθους] ὕψος τὸ ΑΒ, ὄμμα δὲ ἔστω τὸ Γ, καὶ δέον ἔστω τὸ ΑΒ γνῶναι, πηλίκον ἐστίν, ὡς μὴ ὑπάρχοντος ἡλίου. κείσθω κάτοπτρον τὸ ΔΖ, καὶ προσεκβεβλήσθω τῇ ΕΔ ἐπ' εὐθείας ἡ ΔΒ, ἄχρις οὗ συμβαλεῖ τῷ πέρατι τοῦ ΑΒ μεγέθους τῷ Β, καὶ προσπιπτέτω ἀκτὶς ἀπὸ τοῦ ὄμματος τοῦ Γ ἡ ΓΗ, καὶ ἀντανακεκλάσθω, ἄχρις οὗ συμβαλεῖ τῷ πέρατι τοῦ ΑΒ μεγέθους τῷ Α, καὶ προσεκβεβλήσθω τῇ ΔΕ ἡ ΕΘ, καὶ ἤχθω ἀπὸ τοῦ Γ ἐπὶ τὴν ΕΘ κάθετος ἡ ΓΘ. ἐπεὶ οὖν προσπέπτωκεν ἀκτὶς ἡ ΓΗ καὶ ἀντανακέκλασται ἡ ΗΑ, πρὸς ἴσας γωνίας ἀνακεκλασμέναι εἰσίν, ὡς ἐν τοῖς κατοπτρικοῖς λέγεται. ἴση ἄρα γωνία ἡ ὑπὸ ΓΗΘ τῇ ὑπὸ ΑΗΒ, ἀλλὰ καὶ ἡ ὑπὸ ΑΒΗ τῇ ὑπὸ ΓΘΗ ἴση. καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΗΓΘ λοιπῇ τῇ ὑπὸ ΗΑΒ ἐστιν ἴση. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΗΒ τρίγωνον τῷ ΓΗΘ τριγώνῳ. τῶν δὲ ἰσογωνίων τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραί. ἔστιν ἄρα, ὡς ἡ ΓΘ πρὸς τὴν ΘΗ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΗ. ἀλλ' ὁ τῆς ΓΘ πρὸς τὴν ΘΗ λόγος ἐστὶ γνώριμος· καὶ ὁ τῆς ΒΑ ἄρα πρὸς τὴν ΒΗ λόγος ἐστὶ γνώριμος. ἀλλ' ἡ ΗΒ ἐστι γνώριμος. καὶ ἡ ΑΒ ἄρα ἐστὶ γνώριμος.



κα'.

Τὸ δοθὲν βάθος γνῶναι, πηλίκον ἐστίν.

ἔστω τὸ δοθὲν βάθος τὸ ΑΔ, ὄμμα δὲ ἔστω τὸ Ε, καὶ δέον τὸ βάθος γνῶναι, πηλίκον ἐστίν. προσπιπτέτω γὰρ τῇ ὄψει ἡλίου ἀκτὶς ἡ ΕΔ συμβάλλουσα τῷ ἐπιπέδῳ κατὰ τὸ Β σημεῖον καὶ τῷ βάθει κατὰ τὸ Δ. καὶ προσεκβεβλήσθω ἀπὸ τοῦ Β ἐπ' εὐθείας ἡ ΒΖ,

1. κατά] ἀλλὰ κατὰ m. 2. 2. ΑΒΔ] corr. ex αβγ. 5. ΕΖ] in ras. 16. συμβαλεῖ] corr. ex συμβαλῇ, ut lin. 19. 20. ΑΒ] corr. ex δβ. 22. ἡ] supra.

καὶ ἤχθω ἀπὸ τοῦ Ε ἐπὶ τὴν ΒΖ εὐθεῖαν κάθετος ἡ ΕΖ. ἐπεὶ οὖν ἴση γωνία ἡ ὑπὸ ΕΖΒ τῇ ὑπὸ ΒΑΔ, ἀλλὰ καὶ ἡ ὑπὸ ΑΒΔ τῇ ὑπὸ ΕΒΖ, καὶ ἡ τρίτη ἄρα ἡ ὑπὸ ΒΕΖ τῇ ὑπὸ ΑΔΒ ἐστιν ἴση. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΔΒ τρίγωνον τῷ ΒΕΖ τριγώνῳ. καὶ αἱ πλευραὶ ἄρα ἀνάλογον ἔσονται. ἔστιν ἄρα, ὡς ἡ ΕΖ πρὸς τὴν ΖΒ, ἡ ΔΑ πρὸς τὴν ΑΒ. ἀλλ' ὁ τῆς ΕΖ πρὸς τὴν ΖΒ λόγος ἐστὶ γνώριμος· καὶ ὁ τῆς ΔΑ ἄρα πρὸς τὴν ΑΒ λόγος ἐστὶ γνώριμος. καί ἐστι καὶ τὸ ΑΒ γνώριμον· καὶ τὸ ΑΔ ἄρα γνώριμόν ἐστιν.

κβ'.


Τὸ δοθὲν μῆκος ἐπιγνῶναι, πηλίκον ἐστίν.

ἔστω τὸ δοθὲν μῆκος τὸ ΑΒ, ὄμμα δὲ ἔστω τὸ Γ, καὶ δέον ἔστω τὸ ΑΒ μῆκος γνῶναι, πηλίκον ἐστίν. προσπιπτέτωσαν ἀκτῖνες αἱ ΓΑ, ΓΒ, καὶ εἰλήφθω ἐγγὺς τοῦ ὄμματος τοῦ Γ ἐπὶ τῆς ἀκτῖνος τυχὸν σημεῖον τὸ Δ, καὶ ἤχθω διὰ τοῦ Δ σημείου τῇ ΑΒ παράλληλος εὐθεῖα ἡ ΔΕ. ἐπεὶ οὖν τριγώνου τοῦ ΑΒΓ παρὰ μίαν τῶν πλευρῶν τὴν ΒΑ ἦκται ἡ ΔΕ, ἔστιν ἄρα, ὡς ἡ ΓΔ πρὸς τὴν ΔΕ, οὕτως ἡ ΓΑ πρὸς τὴν ΑΒ. ἀλλ' ὁ τῆς ΓΔ πρὸς τὴν ΔΕ λόγος ἐστὶ γνώριμος. καὶ ὁ τῆς ΑΓ ἄρα πρὸς τὴν ΑΒ λόγος γνώριμός ἐστιν. καὶ γνώριμός ἐστιν ἡ ΑΓ· γνώριμος ἄρα καὶ ἡ ΑΒ.

κγ'.

Ἐὰν ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ἐν ᾧ τὸ ὄμμα, κύκλου περιφέρεια τεθῇ, ἡ τοῦ κύκλου περιφέρεια εὐθεῖα γραμμὴ φαίνεται.

ἔστω κύκλου περιφέρεια ἡ ΒΓ ἐν τῷ αὐτῷ ἐπιπέδῳ κειμένη τῷ ὄμματι τῷ Α, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΑΒ, ΑΔ, ΑΕ, ΑΖ, ΑΗ, ΑΘ, ΑΓ. λέγω, ὅτι ἡ ΒΓ περιφέρεια εὐθεῖα φαίνεται. κείσθω τῆς περιφερείας τὸ κέντρον καὶ ἔστω τὸ Κ, καὶ ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ΚΒ, ΚΔ, ΚΕ, ΚΖ, ΚΗ, ΚΘ, ΚΓ. ἐπεὶ οὖν ἡ ΚΒ ὑπὸ τῆς ὑπὸ ΚΑΒ γωνίας βλέπεται, ἡ δὲ ΚΔ ὑπὸ τῆς ὑπὸ ΚΑΔ, μείζων ἄρα φανήσεται ἡ



1. κάθετος] supra m. 2. 39. ὑπό] (alt.) supra m. 2.


μὲν ΚΒ τῆς ΚΔ, ἡ δὲ ΚΔ τῆς ΚΕ, ἡ δὲ ΚΕ τῆς ΚΖ, καὶ ἐκ τοῦ ἑτέρου μέρους ἡ μὲν ΚΓ τῆς ΚΘ, ἡ δὲ ΚΘ τῆς ΚΗ, ἡ δὲ ΚΗ τῆς ΚΖ μείζων φανήσεται. διὰ τοῦτο δὴ τῆς μενούσης εὐθείας τῆς ΚΑ† κάθετος ἡ ΒΓ ἀεί ἐστιν. τὰ δ' αὐτὰ συμβήσεται καὶ ἐπὶ τῆς κοίλης περιφερείας.

ἄλλως.

δυνατὸν δὲ καὶ ἐπ' αὐτῶν τῶν ὄψεων ταῦτα λέγειν, ὅτι ἐστὶν ἐλαχίστη μὲν ἡ μεταξὺ τοῦ Α ὄμματος καὶ τῆς διαμέτρου, ἀεὶ δὲ ἡ ἔγγιον αὐτῆς ἐλάττων τῆς ἀπώτερον. ταῦτα δὲ συμβαίνει καὶ ἐὰν † καθέτου ἐπ' αὐτὴν οὔσης τῆς ΑΖ. διὰ τοῦτο φαντασίαν εὐθείας ἀποστέλλει ἡ περιφέρεια, καὶ μάλιστα εἰ ἀπὸ πλείονος φαίνοιτο διαστήματος ὥστε μὴ συναισθάνεσθαι ἡμᾶς τῆς κυρτότητος. διὰ τοῦτο καὶ οἱ μὴ πάνυ ἀποτεταμένοι κάλοι ἐκ πλαγίου μὲν ὁρώμενοι ἐγχάλασμα ἔχειν δοκοῦσιν, ὑποκάτωθεν δ' εὐθεῖς εἶναι, καὶ αἱ σκιαὶ δὲ τῶν κρίκων ἐν τῷ αὐτῷ ἐπιπέδῳ κειμένων τῷ φωτίζοντι εὐθεῖαι γίνονται.

ἄλλως.

Ἐὰν ἐν τῷ αὐτῷ ἐπιπέδῳ τῷ ὄμματι κύκλου περιφέρεια τεθῇ, εὐθεῖα γραμμὴ ἡ τοῦ κύκλου περιφέρεια φαίνεται.



ἔστω κύκλου περιφέρεια ἡ ΒΓ, ὄμμα δὲ ἔστω τὸ Δ ἐν τῷ αὐτῷ ἐπιπέδῳ ὂν τῇ ΒΓ περιφερείᾳ, ἀφ' οὗ προσπιπτέτωσαν ὄψεις αἱ ΔΒ, ΔΖ, ΔΓ. οὐκοῦν ἐπειδὴ τῶν ὁρωμένων οὐδὲν ὅλον ἅμα ὁρᾶται, εὐθεῖα ἄρα ἐστὶν ἡ ΒΖ. ὁμοίως δὴ καὶ ἡ ΖΓ. ὅλη ἄρα ἡ ΒΓ περιφέρεια εὐθεῖα δόξει.


κδ'.

Σφαίρας ὁπωσδηποτοῦν ὁρωμένης ὑπὸ ἑνὸς ὄμματος ἔλασσον ἀεὶ ἡμισφαιρίου φαίνεται, αὐτὸ δὲ τὸ ὁρώμενον τῆς σφαίρας κύκλου περιφέρεια φαίνεται.

ἔστω σφαῖρα, ἧς κέντρον μὲν τὸ Α, ὄμμα δὲ ἔστω τὸ Β. καὶ ἐπεζεύχθω ἡ ΑΒ, καὶ ἐκβεβλήσθω τὸ διὰ τῆς ΒΑ ἐπίπεδον. ποιήσει οὖν τομὴν κύκλον. ποιείτω τὸν ΓΔΘΗ κύκλον, καὶ περὶ διάμετρον τὴν ΑΒ κύκλος γεγράφθω ὁ ΓΒΔ, καὶ ἐπεζεύχθωσαν εὐθεῖαι αἱ

4. *κάθετος*] m. 2; *καθέτου* m. 1. Lacuna est. 6. *ἄλλως*] supra. 7. *κδ'* additum est. *ἐστίν*] corr. ex *ἦν*. 9. *ἔγγιον*] corr. ex *ἔγγειον*. *ἐλάττων*] corr. ex *μείζων* m. 2. *ἀπώτερον*] *ἀπότερον*. 12. *κυρτότητος*] primum *τ* in ras. 14. *εὐθεῖς*] -*θεῖς* in ras. 17. *ἄλλως*] *κε'*. 24. *τῶν ὁρωμένων*] *τοῦ ὁρωμένου*. 26. *ὅλην ... τὴν .. περιφέρειαν* m. 2. 27. *εὐθεῖα*] *εὐθεῖαν*. *δόξει*] *ἕξει*. 28. *κδ'*] *κς'*. 29. *ἑνός*] supra. 30. *κύκλου περιφέρεια φαίνεται*] m. 2; *μέρος ἡμικύκλιον μόνον* m. 1. 35. *ΓΒΔ*] m. 1; *γβδα* m. 2.


ΓΒ, ΒΔ, ΑΔ, ΑΓ. ἐπεὶ οὖν ἡμικύκλιόν ἐστι τὸ ΑΓΒ, ὀρθὴ γωνία ἐστὶν ἡ ὑπὸ ΑΓΒ· ὁμοίως καὶ ἡ ὑπὸ ΒΔΑ. αἱ ΓΒ, ΒΔ ἄρα ἐφάπτονται. ἐπεζεύχθω οὖν ἡ ΓΔ, καὶ ἤχθω διὰ τοῦ Α σημείου τῇ ΓΔ παράλληλος ἡ ΗΘ. ὀρθαὶ ἄρα αἱ πρὸς τῷ Κ. ἐὰν δὴ το ΒΓΚ τρίγωνον μενούσης τῆς ΑΒ περὶ τὴν ὀρθὴν γωνίαν τὴν Κ περιενεχθὲν εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, ἡ μὲν ΒΓ καθ' ἓν σημεῖον ἐφάψεται τῆς σφαίρας, ἡ δὲ ΚΓ ποιήσει τὴν τομὴν κύκλον. κύκλου μὲν ἄρα περιφέρεια ὀφθήσεται ἐν τῇ σφαίρᾳ. λέγω δέ, ὅτι καὶ ἔλαττον ἡμισφαιρίου. ἐπεὶ γὰρ ἡμικύκλιόν ἐστι τὸ ΗΘ, τὸ ΓΔ ἔλαττον ἡμικυκλίου ἐστίν. καὶ ὁρᾶται ὑπὸ τῶν ΒΓ, ΒΔ ἀκτίνων τὸ αὐτὸ τῆς σφαίρας μέρος. ἔλαττον ἄρα ἡμισφαιρίου τὸ ΓΔ.



κε′.

Τοῦ ὄμματος προσιόντος τῇ σφαίρᾳ ἔλαττον ἔσται τὸ ὁρώμενον, δόξει δὲ μεῖζον ὁρᾶσθαι.

ἔστω σφαῖρα, ἧς κέντρον μὲν τὸ Α, ὄμμα δὲ τὸ Β, ἀφ' οὗ ἐπεζεύχθω εὐθεῖα ἡ ΑΒ. καὶ περιγεγράφθω περὶ τὴν ΑΒ κύκλος



ὁ ΓΒΔ, καὶ ἤχθω ἀπὸ τοῦ Α σημείου τῇ ΑΒ εὐθείᾳ πρὸς ὀρθὰς ἐφ' ἑκάτερα εὐθεῖα ἡ ΕΖ, καὶ ἐκβεβλήσθω τὸ διὰ τῶν ΕΖ, ΑΒ


1. ΒΔ] Δ e corr. est. ΑΓΒ] m. 2; αγδ m. 1. 8. ΑΒ] κβ m. 2. 16. τῇ] om. 17. ἐπεί — 19. ΓΔ] mg. m. 1; in textu est: ἐπεὶ γαρ ἡμικύκλιόν ἐστι τὸ γδ, postea expunctum. deinde sequitur: καὶ ὑπὸ τῶν ἀκτίνων τῶν βγ, βδ βλέπεται. 20. κε′] κζ′. 24. ΑΒ] Β corr. ex γ.

ἐπίπεδον. ποιήσει οὖν τομὴν κύκλον. ἔστω ὁ ΓΕΖΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΑ, ΑΔ, ΔΒ, ΒΓ, ΓΔ. διὰ δὴ τὸ πρὸ αὐτοῦ ὀρθαὶ μὲν αἱ πρὸς τοῖς Γ, Δ σημείοις. ἐφάπτονται ἄρα αἱ ΒΓ, ΒΔ, αἵτινές εἰσιν ἀκτῖνες, καὶ βλέπεται ὑπὸ τοῦ Β ὄμματος τὸ ΓΔ μέρος τῆς σφαίρας. μετακεκινήσθω δὴ τὸ ὄμμα ἔγγιον τῆς σφαίρας, καὶ ἔστω τὸ Θ, ἀφ' οὗ ἐπεζεύχθω εὐθεῖα ἡ ΘΑ καὶ [περι]γεγράφθω κύκλος ὁ ΑΛΚ, καὶ ἐπεζεύχθωσαν αἱ ΘΚ, ΚΑ, ΑΛ, ΛΘ εὐθεῖαι. ὁμοίως δὴ ὑπὸ τοῦ Θ ὄμματος βλέπεται μὲν τὸ ΚΛ μέρος τῆς σφαίρας, ὑπὸ δὲ τοῦ Β ἐβλέπετο τὸ ΓΔ. ἔλαττον δὲ τὸ ΚΛ τοῦ ΓΔ. προσιόντος ἄρα τοῦ ὄμματος ἔλαττόν ἐστι τὸ ὁρώμενον. δοκεῖ δὲ μεῖζον φαίνεσθαι. μείζων γὰρ ἡ ὑπὸ ΚΘΛ γωνία τῆς ὑπὸ ΓΒΔ γωνίας.

κϛ'.

Σφαίρας διὰ δύο ὀμμάτων ὁρωμένης ἐὰν ἡ διάμετρος τῆς σφαίρας ἴση ᾖ τῇ εὐθείᾳ, ἐφ' ἣν διεστήκασι τὰ ὄμματα ἀπ' ἀλλήλων, τὸ ἡμισφαίριον αὐτῆς ὀφθήσεται ὅλον.

ἔστω σφαῖρα, ἧς κέντρον τὸ Α, καὶ γεγράφθω ἐν τῇ σφαίρᾳ περὶ κέντρον τὸ Α κύκλος ὁ ΒΓ, καὶ ἤχθω διάμετρος αὐτοῦ ἡ ΒΓ, καὶ ἤχθωσαν ἀπὸ τῶν Β, Γ πρὸς ὀρθὰς αἱ ΒΔ, ΓΕ, τῇ δὲ ΒΓ παράλληλος ἔστω ἡ ΔΕ, ἐφ' ἧς κείσθω τὰ ὄμματα τὰ Δ, Ε. λέγω, ὅτι τὸ ἡμισφαίριον ὅλον ὀφθήσεται. ἤχθω διὰ τοῦ Α ἑκατέρᾳ τῶν ΒΔ, ΓΕ παράλληλος ἡ ΑΖ. τὸ ΑΒΔΖ ἄρα παραλληλόγραμμόν ἐστιν. ἐὰν δὴ μενούσης τῆς ΑΖ περιενεχθὲν εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι τὸ περιενεχθὲν σχῆμα, ἄρξεται μὲν ἀπὸ τοῦ Β, ἐλεύσεται δὲ καὶ ἐπὶ τὸ Γ καὶ τὸ Β, καὶ τὸ περιγραφὲν ὑπὸ τῆς ΑΒ σχῆμα κύκλος ἔσται, ὅς γε διὰ τοῦ κέντρου τῆς σφαίρας ἐστίν. ἡμισφαίριον ἄρα ὀφθήσεται ὑπὸ τῶν Δ, Ε ὀμμάτων.




κζ'.

Ἐὰν τὸ τῶν ὀμμάτων διάστημα μεῖζον ᾖ τῆς ἐν τῇ σφαίρᾳ διαμέτρου, μεῖζον τοῦ ἡμισφαιρίου ὀφθήσεται τῆς σφαίρας.

ἔστω σφαῖρα, ἧς κέντρον τὸ Α, καὶ περιγεγράφθω περὶ κέντρον τὸ Α κύκλος ὁ ΕΘΔΗ, ὄμματα δὲ τὰ Β, Γ, καὶ ἔστω τὸ διάστημα τὸ μεταξὺ τῶν Β, Γ ὄψεων μεῖζον τῆς ἐν τῇ σφαίρᾳ διαμέτρου, καὶ ἐπεζεύχθω ἡ ΒΓ. λέγω, ὅτι μεῖζον τοῦ ἡμισφαιρίου ὀφθήσεται. προσπιπτέτωσαν ἀκτῖνες αἱ ΒΕ, ΓΔ καὶ προσεκβεβλήσθωσαν ἐπὶ τὰ Ε, Δ

3. ἄρα] in ras. 5. ἔγγιον] corr. ex ἔγγειον. 6. ἐπεζεύχθω εὐθεῖα ἡ ΘΑ καί] supra m. 2. περιγεγράφθω] περι- supra m. 2, supposita lineola. 7. ΑΛΚ] ΑΛΘΚ m. 2. 9. ἔβλεπε. 12. κϛ'] κη'. 19. ΒΔ] δ in ras. est. 32. κζ'] κθ'. 33. τὸ] supra m. 2. 39. προσεκβεβλήσθωσαν] προσεκβεβλήσθω.


μέρη. συμβάλλουσι δὴ ἀλλήλαις διὰ τὸ ἐλάσσονα εἶναι τὴν διάμετρον τῆς ΒΓ. συμβαλλέτωσαν δὴ κατὰ τὸ Ζ σημεῖον. ἐπεὶ οὖν ἀπό τινος σημείου τῶν ἐκτὸς τοῦ κύκλου πρὸς τὴν περιφέρειαν προσπεπτώκασιν εὐθεῖαι αἱ ΖΕ, ΖΔ, τὸ ΔΘΕ ἄρα ἔλαττόν ἐστιν ἡμικυκλίου. τὸ ΕΗΔ ἄρα μεῖζόν ἐστιν ἡμικυκλίου. ἀλλ' ὑπὸ τῶν Β, Γ τὸ ΕΗΔ βλέπεται. μεῖζον ἄρα ἢ τὸ ἥμισυ ὀφθήσεται τοῦ κύκλου ὑπὸ τῶν Β, Γ. τὸ αὐτὸ ἄρα καὶ τῆς σφαίρας ὀφθήσεται.



κη'.

Ἐὰν τὸ τῶν ὀμμάτων διάστημα ἔλαττον ᾖ τῆς ἐν τῇ σφαίρᾳ διαμέτρου, ἔλαττον ἡμισφαιρίου ὀφθήσεται.

ἔστω σφαῖρα, ἧς κέντρον τὸ Α σημεῖον, καὶ περιγεγράφθω περὶ τὸ Α σημεῖον κύκλος ὁ ΒΓ, καὶ κείσθω τὸ διάστημα τῶν ὀμμάτων τὸ ΔΕ ἔλασσον ὂν τῆς ἐν τῇ σφαίρᾳ διαμέτρου, ἀφ' οὗ ἤχθωσαν ἐφαπτόμεναι αἱ ΔΒ, ΕΓ αἱ αὐταὶ καὶ ἀκτῖνες. λέγω, ὅτι ἔλασσον ἡμισφαιρίου ὀφθήσεται. ἐκβεβλήσθωσαν γὰρ αἱ ΒΔ, ΓΕ. συμπεσοῦνται δὴ ἐπὶ τὰ ΓΗΒ μέρη, ἐπειδήπερ ἡ ΔΕ ἐλάσσων ἐστὶ τῆς ἐν τῇ σφαίρᾳ διαμέτρου. συμπιπτέτωσαν κατὰ τὸ Ζ σημεῖον. ἐπεὶ οὖν ἀπό τινος σημείου τοῦ Ζ προσπεπτώκασιν εὐθεῖαι αἱ ΖΓ, ΖΒ, τὸ ΒΗΓ ἄρα ἔλαττόν ἐστιν ἡμικυκλίου. ἀλλ' ἐν ᾧ ἐστι τὸ ΒΗΓ τμῆμα, ἐν τούτῳ καὶ τὸ τῆς σφαίρας. ἀπολαμβάνουσιν ἄρα ἔλαττον ἡμισφαιρίου.




κθ'.

Κυλίνδρου ὁπωσδηποτοῦν ὑπὸ ἑνὸς ὄμματος ὁρωμένου ἔλαττον ἡμικυλινδρίου ὀφθήσεται.

ἔστω κύλινδρος, οὗ ἔστω κέντρον τῆς βάσεως τὸ Α σημεῖον καὶ περιγεγράφθω περὶ τὸ Α κύκλος ὁ ΒΓ, καὶ κείσθω ὄμμα τὸ Δ

7. ΔΘΕ] e corr. 16. κη'] λ'. 36. κθ'] λα'. 38. ἡμικυλινδρίου] ἡμικυλίνδρου. 39. κύλινδρος] m. 2; κῶνος m. 1.


ἐν τῷ αὐτῷ ἐπιπέδῳ κείμενον τῇ βάσει τοῦ κυλίνδρου τῇ ΒΓ, καὶ ἐπεζεύχθω ἀπὸ τοῦ Δ ἐπὶ τὸ Α ἡ ΔΑ, καὶ ἤχθωσαν ἀπὸ τοῦ Δ ἀκτῖνες αἱ ΔΒ, ΔΓ, καὶ ἐφαπτέσθωσαν τοῦ κύκλου, καὶ ἀνήχθωσαν ἀπὸ τῶν Β, Γ σημείων πρὸς ὀρθὰς πλευραὶ τοῦ κυλίνδρου αἱ ΒΕ, ΓΖ, καὶ ἐκβεβλήσθω τό τε διὰ τῶν ΔΒ, ΒΕ ἐπίπεδον καὶ τὸ διὰ τῶν ΔΓ, ΓΖ. οὐδέτερον ἄρα αὐτῶν τέμνει τὸν κύλινδρον· ἐφάπτονται γὰρ καὶ αἱ ΔΒ, ΔΓ καὶ αἱ ΒΕ, ΓΖ. βλέπεται οὖν ὑπὸ τῶν ΒΔ, ΔΓ ἀκτίνων τὸ ΒΓ, ὅπερ ἐστὶν ἔλαττον ἡμικυκλίου. τὸν αὐτὸν δὴ τρόπον καὶ ἔλαττον ἡμικυλινδρίου ὁραθήσεται.



εἰ δὲ ὑπὸ δύο ὀμμάτων ὁρῷτο, φανερόν, ὅτι καὶ ἐπ' αὐτοῦ συμβήσεται τὰ ἐπὶ τῆς σφαίρας εἰρημένα.

ἄλλως.

Ἔστω κύκλος, οὗ ἔστω κέντρον τὸ Α, σημεῖον δὲ ἐκτὸς ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθω ἀπὸ τοῦ Α ἐπὶ τὸ Ζ ἡ ΑΖ, καὶ ἀνήχθω ἀπὸ τοῦ Α σημείου τῇ ΑΖ πρὸς ὀρθὰς ἐφ' ἑκάτερα τὰ μέρη ἡ ΓΔ. ἡ ΓΔ ἄρα διάμετρός ἐστι τοῦ κύκλου. καὶ περιγεγράφθω περὶ τὴν ΑΖ κύκλος ὁ ΑΒΖΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΒΖ, ΖΕ, ΕΑ. αἱ ΖΒ, ΖΕ ἄρα ἐφάπτονται, ἐπειδήπερ αἱ πρὸς τοῖς Β, Ε σημείοις εἰσὶν ὀρθαί. ἐπεὶ οὖν ἀπό τινος σημείου τοῦ Ζ πρὸς τὴν τοῦ κύκλου περιφέρειαν προσπεπτώκασιν ἀκτῖνες αἱ ΒΖ, ΖΕ, τὸ ΒΕ ἄρα μέρος ὁραθήσεται τοῦ κύκλου. ἔστι δὲ τὸ ΓΒΕΔ ἡμικύκλιον. τὸ ΒΕ ἄρα ἔλαττόν ἐστιν ἡμικυκλίου.



τοῦτο δὲ τὸ θεώρημα γέγονε πρὸς τοὺς κώνους τε καὶ τοὺς κυλίνδρους. ἐὰν γὰρ ἀπὸ τῶν Β, Ε σημείων ἀχθῶσι πρὸς ὀρθὰς αἱ πλευραὶ τῶν κυλίνδρων, ἐφάψονται αὐτῶν, καθ' ὃ μέρος καὶ αἱ ἀκτῖνες προσπίπτουσι, καὶ ἀποκλεισθήσεται τὸ ΒΔΕ μέρος τῆς ὄψεως,


19. ἄλλως] mg.; praeterea additur λβ'.

θεωρηθήσεται δὲ τὸ ΒΕ μέρος τοῦ ἡμικυκλίου. τὸ αὐτὸ ἄρα μέρος καὶ τοῦ κυλίνδρου θεωρηθήσεται τὸ ἔλαττον : ∾ ἑξῆς.


λʹ.

Τοῦ ὄμματος τεθέντος ἔγγιον τοῦ κυλίνδρου ἔλαττον μέν ἐστι τὸ περιλαμβανόμενον ὑπὸ τῶν ἀκτίνων τοῦ κυλίνδρου, δόξει δὲ μεῖζον ὁρᾶσθαι.

ἔστω κύλινδρος, οὗ βάσις μὲν ὁ ΒΓ κύκλος, κέντρον δὲ τὸ Α, ὄμμα δὲ τὸ Ε, ἀφ᾽ οὗ ἐπεζεύχθω ἐπὶ τὸ κέντρον ἡ ΕΑ, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΕΒ, ΕΓ, καὶ ἀνήχθωσαν ἀπὸ τῶν Β, Γ σημείων πρὸς ὀρθὰς τῷ κυλίνδρῳ αἱ ΓΖ, ΒΗ. διὰ δὴ τὰ πρότερα τὸ ΗΒΓΖ ἔλαττόν ἐστιν ἡμικυλινδρίου, καὶ βλέπεται ὑπὸ τοῦ Ε ὄμματος. μετακείσθω δὴ τὸ ὄμμα ἔγγιον τὸ Θ. λέγω, ὅτι τὸ περιλαμβανόμενον ὑπὸ τοῦ Θ ὄμματος δοκεῖ τοῦ ΖΓΒΗ μεῖζον φαίνεσθαι ἔλαττον αὐτοῦ ὄν. προσπιπτέτωσαν ἀκτῖνες αἱ ΘΚ, ΘΛ, καὶ ἀνήχθωσαν ἀπὸ τῶν Κ, Λ σημείων αἱ πλευραὶ τοῦ κυλίνδρου πρὸς ὀρθὰς αἱ ΚΜ, ΛΝ. θεωρηθήσεται δὴ ὑπὸ τῶν ΘΚ, ΘΛ ἀκτίνων τὸ ΜΚΛΝ μέρος τοῦ κυλίνδρου. ἀλλὰ καὶ ὑπὸ τῶν ΕΒ, ΕΓ τὸ ΖΓΒΗ. ἔστι δὲ τὸ ΖΓΒΗ τοῦ ΜΚΛΝ μεῖζον, δοκεῖ δὲ ἔλασσον φαίνεσθαι, ἐπειδήπερ καὶ μείζων γωνία ἡ πρὸς τῷ Θ τῆς πρὸς τῷ Ε.



λαʹ.



Κώνου κύκλον ἔχοντος τὴν βάσιν καὶ πρὸς ὀρθὰς αὐτῇ τὸν ἄξονα ὑπὸ τοῦ ἑνὸς ὄμματος ὁρωμένου ἔλαττον ἡμικωνίου ὀφθήσεται.

ἔστω κῶνος, οὗ βάσις μὲν ὁ ΒΓ κύκλος, κορυφὴ δὲ τὸ Α σημεῖον, ὄμμα δὲ ἔστω τὸ Δ, ἀφ᾽ οὗ προσπιπτέτω-


2. καί] postea insertum. τοῦ κυλίνδρου] m. 2; τῶν κώνων m. 1. 3. λʹ] λγʹ. 4. Post prius τοῦ rasura unius litterae. ἔγγιον] corr. ex ἔγγειον, ut lin. 14. 30. λαʹ] λδʹ. 34. ἡμικωνίου] — ωνι — in ras. est.

σαν ἀκτῖνες αἱ ΔΒ, ΔΓ. καὶ ἐπεὶ προσπεπτώκασιν ἀκτῖνες αἱ ΔΓ, ΔΒ ἐφαπτόμεναι τοῦ ΒΓ, τὸ ΒΓ ἄρα ἔλασσόν ἐστιν ἡμικυκλίου διὰ τὰ προαποδεδειγμένα. ἤχθωσαν ἀπὸ τῆς κορυφῆς τοῦ κώνου τῆς Α ἐπὶ τὰ Β, Γ σημεῖα πλευραὶ τοῦ κώνου αἱ ΑΒ, ΑΓ. τὸ ἄρα ἐμπεριλαμβανόμενον ὑπὸ τῶν ΑΒ, ΑΓ εὐθειῶν καὶ τοῦ ΒΓ τομέως ἔλαττόν ἐστιν ἡμικωνίου, ἐπειδήπερ καὶ τὸ ΒΓ ἔλασσόν ἐστιν ἡμικυκλίου. ἔλασσον ἄρα ἡμικωνίου ὀφθήσεται.

λβʹ.

Τοῦ δὲ ὄμματος ἔγγιον τεθέντος ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου, ἔλαττον μὲν ἔσται τὸ ὑπὸ τῶν ὄψεων ἐμπεριλαμβανόμενον μέρος, δόξει δὲ μεῖζον ὁρᾶσθαι.

ἔστω κῶνος, οὗ βάσις μὲν ὁ ΑΒ κύκλος, κορυφὴ δὲ τὸ Γ σημεῖον, ὄμμα δὲ ἔστω τὸ Δ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Δ, καὶ ἐπεζεύχθω εὐθεῖα ἡ ΔΑ, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΔΑ, ΔΒ, καὶ ἐπεζεύχθωσαν αἱ πλευραὶ τοῦ κώνου αἱ ΑΓ, ΓΒ. οὐκοῦν ὑπὸ τοῦ Δ ὄμματος καὶ τῶν ΔΑ, ΔΒ ὄψεων ἐμπεριλαμβάνεται τὸ ΑΒΓ μέρος τοῦ κώνου, καί ἐστιν ἔλαττον ἡμικωνίου. μετακείσθω δὴ τὸ ὄμμα ἔγγιον καὶ ἔστω τὸ Ε, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΕΖ, ΕΗ, καὶ ἐπεζεύχθωσαν αἱ πλευραὶ αἱ ΖΓ, ΓΗ. πάλιν οὖν ἐμπεριλαμβάνεται ὑπὸ τοῦ Ε ὄμματος καὶ τῶν ΕΖ, ΕΗ ὄψεων τὸ ΖΓΗ μέρος τοῦ κώνου. ἔστι δὴ τὸ ΖΓΗ τοῦ ΑΒΓ ἔλασσον, δοκεῖ δὲ μεῖζον φαίνεσθαι, ἐπειδὴ μείζων ἐστὶν ἡ ὑπὸ ΖΕΗ γωνία τῆς ὑπὸ ΑΔΒ γωνίας.




φανερὸν δέ, ὅτι καὶ ἐπὶ κώνου ὑπὸ τῶν δύο ὀμμάτων ὁρωμένου συμβήσεται τὰ ἐπὶ τῆς σφαίρας καὶ τοῦ κυλίνδρου τῶν ὁμοίως ὁρωμένων συμβαίνοντα.

λγʹ.

Ἐὰν ἀπὸ τοῦ ὄμματος πρὸς τὴν τοῦ κώνου βάσιν προσπίπτωσιν ἀκτῖνες, ἀπὸ δὲ τῶν προσπιπτουσῶν ἀκτίνων καὶ ἐφαπτομένων ἀπὸ τῶν ἀφῶν εὐθεῖαι ἀχθῶσι διὰ τῆς ἐπιφανείας τοῦ κώνου πρὸς τὴν κορυφὴν αὐτοῦ, διὰ δὲ τῶν ἀχθεισῶν καὶ τῶν ἀπὸ τοῦ ὄμματος πρὸς τὴν βάσιν τοῦ κώνου προσπιπτουσῶν ἐπίπεδα ἐκβληθῇ, ἐπὶ δὲ τῆς συναφῆς αὐτῶν, τουτέστιν ἐπὶ τῆς κοινῆς τομῆς τῶν ἐπιπέδων, τὸ ὄμμα τεθῇ, τὸ ὁρώμενον τοῦ κώνου διὰ παντὸς ἴσον ὀφθήσεται τῆς ὄψεως ἐπὶ παραλλήλου ἐπιπέδου τῷ προυποκειμένῳ ἐπιπέδῳ ὑπαρχούσης.

8. λβʹ] λεʹ. 9. ἔγγιον] corr. ex. ἔγγειον, ut lin. 21. 27. μείζων] m. 2; μεῖζον m. 1. 32. λγʹ] λςʹ.


ἔστω κῶνος, οὗ βάσις μὲν ὁ ΒΓ κύκλος, κορυφὴ δὲ τὸ Α σημεῖον, ὄμμα δὲ ἔστω τὸ Δ, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΔΖ, ΔΓ, καὶ ἀνήχθωσαν ἀπὸ τῶν συναφῶν τῶν Ζ, Γ πρὸς τὴν κορυφὴν τοῦ κώνου τὴν Α πλευραὶ τοῦ κώνου αἱ ΖΑ, ΓΑ, καὶ ἐκβεβλήσθω τό τε διὰ τῶν ΔΖ, ΖΑ ἐπίπεδον καὶ τὸ διὰ τῶν ΓΔ, ΓΑ. ποιήσει ἄρα τὴν κοινὴν τομὴν εὐθεῖαν. ἔστω ἡ ΑΕΔ. λέγω, ὅτι, ἐὰν ἐπὶ τῆς ΑΕΔ κατατεθῇ τὸ ὄμμα, τὸ ἴσον τοῦ κώνου ὀφθήσεται, ὅσον καὶ ὑπὸ τῶν ΔΓ, ΔΖ ἀκτίνων ἐβλέπετο. κείσθω γὰρ ἐπὶ τῆς ΑΕΔ τὸ ὄμμα τὸ Ε, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες πρὸς τὸν κῶνον. ἐλεύσονται δὴ κατὰ τὰς ΑΖ, ΑΓ, ἐπειδήπερ ἐπὶ παραλλήλου ἐπιπέδου κεῖται τὸ ὄμμα, κατ' εὐθείας δὲ γραμμὰς φέρονται αἱ ὄψεις. εἰ γὰρ ἐκτὸς πεσοῦνται τῶν ΑΓ, ΑΖ, κλασθήσονται αἱ ὄψεις· ὅπερ ἄτοπον. ἔστωσαν οὖν αἱ ΕΘ, ΒΗ. ἐπεὶ οὖν ἐπὶ παραλλήλου μὲν ἐπιπέδου κατ' εὐθείας γραμμὰς φέρονται αἱ ὄψεις, τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται, ὅσαι δ' ἂν ὄψεις ἐπὶ τῆς ΑΕΔ εὐθείας τεθῶσι παράλληλοι, ἴσας γωνίας περιέχουσι, τὸ ἴσον ἄρα τοῦ κώνου ὀφθήσεται [ὅπερ ἴσον ὁρῶσιν, ἔλασσον δὲ τοῦ κώνου ὁρῶσιν, ὥστε καὶ τὸ ἔλαττον ὀφθήσεται τοῦ κώνου].



λδ'.

Πάλιν δέ γε τοῦ ὄμματος μετατεθέντος ἀπὸ τοῦ ταπεινοῦ μετεώρου μὲν τοῦ ὄμματος τεθέντος μεῖζον μὲν ἔσται τοῦ κώνου τὸ ὁρώμενον, δόξει δὲ ἔλασσον φαίνεσθαι, ταπεινοτέρου δὲ ἔλασσον μὲν ἔσται, δόξει δὲ μεῖζον φαίνεσθαι.

ἔστω κῶνος, οὗ βάσις μὲν ὁ ΒΓ κύκλος, κορυφὴ δὲ τὸ Α σημεῖον, καὶ ἔστωσαν αἱ πλευραὶ τοῦ κώνου αἱ ΒΑ, ΑΓ. ἐπεζεύχθω ἡ ΒΓ, καὶ προσεκβεβλήσθω τῇ ΒΓ ἡ ΒΗ, καὶ ἤχθω διὰ τοῦ τυχόντος τοῦ Θ σημείου τῇ ΑΒ παράλληλος ἡ ΘΚ. λέγω, ὅτι μεῖζον μὲν ἔσται, ἔλασσον δὲ ὀφθήσεται




3. ΔΓ] ex δν. 16. ἐκτός] ν supra scripsit m. 2. 17. ΑΓ, ΑΖ] m. 2; αγζ m. 1. 27. λδ'] λζ'. 28. δέ γε] scriptura incerta est.

τοῦ κώνου τὸ ὁρώμενον τοῦ ὄμματος τεθέντος ἐπὶ τοῦ Θ σημείου ἤπερ ἐπὶ τοῦ Κ. ἐπεζεύχθωσαν αἱ ΑΚ, ΑΘ, καὶ προσεκβεβλήσθω ἡ ΑΘ ἐπὶ τὸ Η, ἡ δὲ ΑΚ ἐπὶ τὸ Λ. οὐκοῦν ἐπὶ τοῦ Η καὶ τοῦ Λ τεθέντος τοῦ ὄμματος ἄνισα τὰ ὁρώμενα τοῦ κώνου ὀφθήσεται, καὶ μεῖζον μὲν ἔσται τὸ πρὸς τῷ Η, ἔλασσον δὲ ὂν μεῖζον ὀφθήσεται τὸ πρὸς τῷ Λ. ἴσον δὲ τὸ πρὸς τῷ Η τῷ πρὸς τῷ Θ, τὸ δὲ πρὸς τῷ Λ τῷ πρὸς τῷ Κ, ὡς ἐν τῷ πρὸ τούτου ἐδείχθη. τοῦ ἄρα ὄμματος πρὸς τῷ Θ τεθέντος μεῖζον ἔσται τὸ ὁρώμενον τοῦ κώνου ἤπερ πρὸς τῷ Κ, δόξει δὲ ἔλασσον εἶναι.

λε'.


Ἐὰν κύκλου πρὸς ὀρθὰς ἀπὸ τοῦ κέντρου ἀνασταθῇ τῷ τοῦ κύκλου ἐπιπέδῳ εὐθεῖα, ἐπὶ δὲ ταύτης τὸ ὄμμα τεθῇ, αἱ διάμετροι αἱ ἐν τῷ τοῦ κύκλου ἐπιπέδῳ διαγόμεναι πᾶσαι ἴσαι φανήσονται.

ἔστω κύκλος, οὗ κέντρον τὸ Α σημεῖον, καὶ ἀπ' αὐτοῦ ἀνήχθω τις πρὸς ὀρθὰς ἡ ΑΒ τῷ τοῦ κύκλου ἐπιπέδῳ, ἐφ' ἧς ὄμμα κείσθω τὸ Β. λέγω, ὅτι αἱ διάμετροι ἴσαι φανήσονται.



ἔστωσαν δύο διάμετροι αἱ ΓΔ, ΕΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΓ, ΒΕ, ΒΔ, ΒΖ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΖΑ τῇ ΑΓ, κοινὴ δὲ ἡ ΑΒ, καὶ ὀρθαὶ αἱ γωνίαι, βάσις ἄρα ἡ ΖΒ βάσει τῇ ΒΓ ἴση ἐστίν, καὶ αἱ περὶ τὰς βάσεις γωνίαι. ἴση ἄρα ἡ ὑπὸ τῶν ΖΒ, ΒΑ τῇ ὑπὸ τῶν ΑΒ, ΒΓ. ὁμοίως καὶ ἡ ὑπὸ ΕΒΑ τῇ ὑπὸ ΑΒΔ. ἡ ἄρα ὑπὸ τῶν ΓΒ, ΒΔ ἴση ἐστὶ τῇ ὑπὸ τῶν ΕΒ, ΒΖ. τὰ δ' ὑπὸ τῶν ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται. ἴση ἄρα ἡ ΓΔ τῇ ΕΖ.

λϛ'.



Κἂν ἡ ἀπὸ τοῦ κέντρου ἀχθεῖσα μὴ πρὸς ὀρθὰς ᾖ τῷ ἐπιπέδῳ, ἴση δὲ ᾖ τῇ ἐκ τοῦ κέντρου, αἱ διάμετροι πᾶσαι ἴσαι φανήσονται.

ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ ἤχθωσαν εἰς αὐτὸν δύο διάμετροι αἱ ΑΒ, ΓΔ, καὶ ἔστω ἡ ἀπὸ τοῦ Ε σημείου ἀναγομένη, ἐφ' ἧς τὸ ὄμμα κεῖται τὸ Ζ, μὴ πρὸς

3. Η] (prius) e corr. 5. ἔσται] om. 6. τὸ] (primum) τῷ m. 1, τοῦ m. 2. 10. λε'] λη'. 13. τοῦ] om. 15. ἧς] ᾗ. 22. ΑΓ] in ras. κοινὴ δὲ ἡ ΑΒ] supra; deletum est: ἴση ἔσται καὶ ἡ γα τῇ αβ. 23. αἱ] om. 24. ΒΓ] in ras. 26. ΒΑ] Β deletum. ΑΒ] Β deletum. ΒΓ] Γ in ras. 27. τῇ ὑπό] postea additum. ΑΒΔ] Α postea add., ΒΔ e corr. ΓΒ] Β erasum. 28. ΕΒ] Β deletum. 30. λϛ'] λθ'.

ὀρθάς, ἀλλὰ ἴση ἑκάστη τῶν ἐκ τοῦ κέντρου ἡ ΖΕ, καὶ ἐπεζεύχθωσαν ἀκτῖνες αἱ ΖΑ, ΖΓ, ΖΒ, ΖΔ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΒΕ τῇ ΕΖ, ἀλλὰ καὶ ἡ ΕΑ ἴση ἐστὶ τῇ ΕΖ, αἱ τρεῖς ἄρα αἱ ΕΖ, ΕΑ, ΕΒ ἴσαι εἰσίν. τὸ ἄρα ἐν τῷ διὰ τῶν ΑΒ, ΕΖ ἐπιπέδῳ περὶ τὴν ΑΒ διάμετρον ἡμικύκλιον γραφόμενον ἐλεύσεται διὰ τοῦ Ζ. ὀρθὴ ἄρα ἡ ὑπὸ τῶν ΑΖ, ΖΒ. ὁμοίως καὶ ἡ ὑπὸ τῶν ΓΖ, ΖΔ ἐστιν ὀρθή. αἱ δὲ ὀρθαὶ ἴσαι, τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται. ἴση ἄρα φανήσεται καὶ ἡ ΑΒ τῇ ΓΔ.


λζ'.

Ἀλλὰ δὴ ἡ ΑΖ μήτε ἴση ἔστω τῇ ἐκ τοῦ κέντρου μήτε πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ἐπιπέδῳ, ἴσας δὲ γωνίας ποιείτω τὰς ὑπὸ ΔΑΖ, ΖΑΓ καὶ τὰς ὑπὸ ΕΑΖ, ΖΑΒ. λέγω, ὅτι καὶ οὕτως αἱ διάμετροι ἴσαι φανήσονται αἱ ποιοῦσαι τὰς ἴσας γωνίας.

ἐπεὶ γὰρ ἴσαι εἰσὶν αἱ μὲν ΓΑ, ΑΖ ταῖς ΖΑ, ΑΔ, αἱ δὲ ΒΑ, ΑΖ ταῖς ΖΑ, ΑΕ καὶ αἱ γωνίαι ἴσαι, βάσις ἄρα ἡ ΔΖ βάσει τῇ ΖΓ ἴση ἐστίν· ὥστε καὶ ἡ ὑπὸ ΔΖΑ ἴση τῇ ὑπὸ ΑΖΓ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ὑπὸ ΕΖΑ ἴση ἐστὶ τῇ ὑπὸ ΑΖΒ. ὅλη ἄρα ἡ ὑπὸ ΔΖΒ ἴση ἐστὶ τῇ ὑπὸ ΕΖΓ. ὥστε καὶ αἱ ΔΒ, ΕΓ διάμετροι ἴσαι φανήσονται.

λη'.

Ἐὰν δὲ ἡ ἀπὸ τοῦ ὄμματος πρὸς τὸ κέντρον τοῦ κύκλου προσπίπτουσα μήτε πρὸς ὀρθὰς ᾖ τῷ ἐπιπέδῳ τοῦ κύκλου μήτε τῇ ἐκ τοῦ κέντρου ἴση μήτε ἴσας γωνίας περιέχουσα, αἱ διάμετροι ἄνισοι φανήσονται, πρὸς ἃς ποιεῖ ἀνίσους γωνίας.




ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ ἤχθωσαν δύο διάμετροι αἱ ΑΓ, ΒΔ τέμνουσαι ἀλλήλας πρὸς ὀρθὰς κατὰ τὸ Ε σημεῖον. καὶ ἡ ἀπὸ τοῦ Ε σημείου ἀναγομένη, ἐφ' ἧς το ὄμμα κεῖται, ἡ ΖΕ μήτε πρὸς ὀρθὰς ἔστω τῷ ἐπιπέδῳ μήτε ἴση τῇ ἐκ τοῦ κέντρου μήτε ἴσας γωνίας περιέχουσα μετὰ τῶν ΑΓ, ΔΒ. λέγω, ὅτι ἄνισοι ὀφθήσονται αἱ ΑΓ, ΔΒ διάμε-

6. ΖΒ] Ζ erasum. ΖΔ] Ζ deletum. 9. λζ'] μ'. 12. καὶ τὰς ὑπό] in ras. 13. αἱ ποιοῦσαι τάς] καὶ ποιήσουσιν. 14. εἰσὶν αἱ] in ras. ΓΑ] δα in ras. ΖΑ] m. 2; Ζ m. 1. αἱ δέ] m. 2; δέ m. 1. ΒΑ] m. 2; Β m. 1. 15. ταῖς] in ras. ΖΑ, ΑΕ] ζαε. αἱ] om. 25. λη'] μα'. 34. ἀναγομένη] prius α in ras.

τροι. ἐπεζεύχθωσαν γὰρ αἱ ΖΓ, ΖΑ, ΖΔ, ΖΒ. ἤτοι οὖν μείζων ἐστὶν ἡ ΕΖ τῆς ἐκ τοῦ κέντρου ἢ ἐλάσσων. διὰ ταῦτα δὴ ἤτοι μείζων ἐστὶν ἡ ὑπὸ ΔΖ, ΖΒ τῆς ὑπὸ ΓΖ, ΖΑ ἢ ἡ ὑπὸ τῶν ΓΖ, ΖΑ τῆς ὑπὸ ΔΖ, ΖΒ, ὡς ἑξῆς δείξομεν. ἄνισοι ἄρα αἱ διάμετροι ὀφθήσονται.

λῆμμα.

ἔστω κύκλος, οὗ κέντρον ἔστω τὸ Α σημεῖον, ὄμμα δὲ τὸ Β, ἀφ' οὗ ἐπὶ τὸν κύκλον κάθετος ἀγομένη μὴ πιπτέτω ἐπὶ τὸ κέντρον τὸ Α ἀλλ' ἐκτός, καὶ ἔστω ἡ ΒΓ, καὶ ἐπεζεύχθω ἀπὸ τοῦ Α ἐπὶ τὸ Γ ἡ ΑΓ καὶ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β ἡ ΑΒ. λέγω, ὅτι πασῶν τῶν γωνιῶν τῶν περιεχομένων ὑπὸ τῶν διὰ τοῦ Α διαγομένων εὐθειῶν καὶ ποιουσῶν πρὸς τῇ ΑΒ εὐθείᾳ γωνίαν ἐλαχίστη ἐστὶν ἡ ὑπὸ τῶν ΓΑ, ΑΒ. ἤχθω διὰ τοῦ Α εὐθεῖα ἡ ΔΑΕ. λέγω, ὅτι ἡ ὑπὸ ΓΑΒ τῆς ὑπὸ ΕΑΒ ἐλάσσων ἐστίν.




ἤχθω γὰρ ἀπὸ τοῦ Γ ἐπὶ τὴν ΔΕ κάθετος ἐν τῷ ἐπιπέδῳ ἡ ΓΖ, καὶ ἐπεζεύχθω ἡ ΒΖ. καὶ ἡ ΒΖ ἄρα ἐπὶ τὴν ΔΕ κάθετός ἐστιν. ἐπεὶ οὖν ὀρθὴ ἡ ὑπὸ ΓΖΑ, ἡ ὑπὸ ΑΓΖ ἄρα ἐλάσσων ὀρθῆς. τὴν δὲ μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει. μείζων ἄρα ἡ ΑΓ τῆς ΑΖ. ἀλλ' ἡ ὑπὸ τῶν ΑΓ, ΓΒ καὶ ἡ ὑπὸ τῶν ΒΖ, ΖΑ ὀρθαί εἰσιν· ὥστε εἰσὶν αἱ ΓΒ, ΒΖ ἄνισοι. καὶ ἡ ὑπὸ τῶν ΖΑ, ΑΒ ἄρα τῆς ὑπὸ τῶν ΓΑ, ΑΒ ἐστι μείζων. ὁμοίως δὴ δειχθήσεται καὶ πασῶν τῶν γωνιῶν τῶν περιεχομένων ὑπὸ τῶν διὰ τοῦ Α διαγομένων εὐθειῶν καὶ ποιουσῶν πρὸς τῇ ΑΒ εὐθείᾳ γωνίαν ἐλαχίστη ἡ ὑπὸ τῶν ΓΑ, ΑΒ.


καὶ φανερόν, ὅτι ἐὰν διαχθῇ τις καὶ ἄλλη εὐθεῖα διὰ τοῦ Α ὡς ἡ ΑΘ πορρώτερον οὖσα τῆς ΑΓ ἤπερ ἡ ΑΖ, μείζων ἔσται ἡ ὑπὸ ΒΑΘ τῆς ὑπὸ ΒΑΖ. ἀχθείσης γὰρ πάλιν καθέτου ἐπὶ τὴν ΑΘ τῆς ΓΚ ἐπιζευχθεῖσα ἡ ΒΚ κάθετος ἔσται ὁμοίως ἐπὶ τὴν ΑΘ. καὶ ἐπεὶ μείζων ἡ ΑΛ τῆς ΑΚ (ὀρθὴν γὰρ ὑποτείνει τὴν ὑπὸ ΑΚΛ), πολλῷ ἄρα ἡ ΑΖ τῆς ΑΚ μείζων ἐστίν. καί εἰσιν ὀρθαὶ αἱ ὑπὸ ΒΖΑ, ΒΚΑ. ἐλάσσων μὲν ἄρα ἡ ΒΖ τῆς ΒΚ διὰ τὸ ἴσα εἶναι τά τε ἀπὸ τῶν ΒΖ, ΖΑ καὶ τὰ ἀπὸ τῶν ΒΚ, ΚΑ τῷ ἀπὸ τῆς ΒΑ καὶ ἀλλήλοις, μείζων δὲ πάλιν ἡ ὑπὸ ΒΑΚ τῆς ὑπὸ ΒΑΖ. πασῶν δὲ τῶν πρὸς τῇ ΒΑ γινομένων γωνιῶν ὑπὸ τῶν διὰ

2. ταῦτα] τὰ αὐτά. 3. ΖΒ] Ζ deletum. ΖΑ] (prius) Ζ deletum. 5. λῆμμα] μβ'. 8. Α] (alt.) in ras. Γ] in ras. 9. ΑΓ] sequitur ras. 1 litt. (η?). ἡ ΑΒ] om. 12. διά] in ras. τοῦ] ex τό m. 2. 13. ἐλάσσων] ἐλαχίστη. 17. ΒΖ] Ζ in ras. est. 19. ΑΓΖ] ΓΖ supra. 23. ΓΒ] Γ deletum. 24. ΖΑ] Ζ deletum. ὥστε εἰσὶν] om. 34. ΑΛ] m. 2; αδ m. 1. 38. δέ] ἄρα m. 2.

τοῦ *Α* διαγομένων μεγίστη ἐστὶν ἡ ὑπὸ *ΒΑΗ* ἐκβληθείσης τῆς *ΓΑ* ἐπὶ τὸ *Η*, ἐπεὶ καὶ πασῶν ἐλάττων ἡ ὑπὸ *ΒΑΓ*. ἴσαι δὲ γίνονται αἱ ἴσον ἀπέχουσαι ἐφ' ἑκάτερα τῆς *ΜΑ* τῆς τὴν ἐλαχίστην γωνίαν περιεχούσης μετὰ τῆς *ΒΑ*. κείσθω γὰρ τῇ *ΕΜ* ἴση ἡ *ΜΝ*, καὶ ἐπεζεύχθωσαν αἱ *ΕΜ*, *ΜΝ*, *ΕΓ*, *ΓΝ*, *ΒΕ*, *ΒΝ*, *ΑΝ*. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ *ΜΝ* τῇ *ΜΕ*, κοινὴ δὲ ἡ *ΜΓ*, καὶ γωνίας ἴσας περιέχουσιν, ἴση ἄρα καὶ ἡ *ΕΓ* τῇ *ΓΝ*. κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ *ΓΒ*. ἴση ἄρα καὶ ἡ *ΕΒ* τῇ *ΒΝ*. ἀλλὰ καὶ ἡ *ΕΑ* τῇ *ΑΝ*· καὶ κοινὴ ἡ *ΑΒ*. καὶ γωνία ἄρα ἡ ὑπὸ *ΕΑΒ* τῇ ὑπὸ *ΝΑΒ* ἴση ἐστίν.

Ἔστω κύκλος ὁ *ΑΒΓΔ*, οὗ κέντρον τὸ *Ζ*, ἐν ᾧ εὐθεῖαι ἤχθωσαν διὰ τῶν *Α*, *Β*, *Γ*, *Δ* τέμνουσαι ἀλλήλας πρὸς ὀρθάς, ὄμμα δὲ ἔστω τὸ *Ε*, ἀφ' οὗ ἡ ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένη πρὸς ὀρθὰς τῇ *ΓΔ*, πρὸς δὲ τὴν *ΑΒ* τυχοῦσαν γωνίαν περιεχέτω· καὶ ἔστω ἡ *ΕΖ* τῆς ἐκ τοῦ κέντρου μείζων. λέγω, ὅτι ἄνισοι αἱ διάμετροι αἱ *ΑΒ*, *ΓΔ* φανήσονται, καὶ μεγίστη μὲν ἡ *ΓΔ*, ἐλαχίστη δὲ ἡ *ΑΒ*, ἀεὶ δὲ ἡ ἔγγιον τῆς ἐλαχίστης ἐλάσσων τῆς ἀπώτερον, δύο δὲ μόνον διάμετροι ἴσαι φανήσονται ἴσον ἀπέχουσαι ἐφ' ἑκάτερα τῆς ἐλαχίστης. ἐπεὶ





γὰρ ἡ *ΓΔ* ἑκατέρᾳ τῶν *ΑΒ*, *ΕΖ* ἐστι πρὸς ὀρθάς, καὶ πάντα ἄρα τὰ διὰ τῆς *ΓΔ* ἐπίπεδα ἐκβαλλόμενα τῷ διὰ τῶν *ΕΖ*, *ΑΒ* ἐστι πρὸς ὀρθάς· ὥστε καὶ τὸ ὑποκείμενον τοῦ κύκλου ἐπίπεδον, ἐφ' οὗ ἐστιν ἡ *ΓΔ*. ἤχθω οὖν ἀπὸ τοῦ *Ε* σημείου ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος. ἐπὶ τὴν κοινὴν ἄρα τομὴν πίπτει τῶν ἐπιπέδων τὴν *ΑΒ*. πιπτέτω οὖν καὶ ἔστω ἡ *ΕΚ*, καὶ διήχθω τῇ διαμέτρῳ τοῦ κύκλου ἴση ἡ *ΛΜ* καὶ τετμήσθω δίχα κατὰ τὸ *Ν* σημεῖον, καὶ ἀνήχθω ἀπὸ τοῦ *Ν* τῇ *ΛΜ* πρὸς ὀρθὰς εὐθεῖα ἡ *ΝΞ*, καὶ ἔστω ἡ *ΝΞ* τῇ *ΕΖ* ἴση. τὸ ἄρα περὶ τὴν *ΛΜ* γραφόμενον τμῆμα καὶ ἐρχόμενον διὰ τοῦ *Ξ* μεῖζόν ἐστιν ἡμικυκλίου, ἐπειδήπερ ἡ *ΝΞ* μείζων ἐστὶν ἑκατέρας τῶν *ΛΝ*, *ΝΜ*. ἔστω τὸ *ΛΞΜ*, καὶ ἐπεζεύχθωσαν αἱ *ΞΛ*, *ΞΜ*. ἡ ἄρα πρὸς τῷ *Ξ* γωνία ἡ περιεχομένη ὑπὸ τῶν *ΛΞ*, *ΞΜ* εὐθειῶν ἴση ἐστὶ τῇ πρὸς τῷ *Ε* σημείῳ τῇ περιεχομένῃ ὑπὸ τοῦ *Ε* καὶ τῶν *Γ*, *Δ*. συνεστάτω πρὸς τῇ *ΛΝ* εὐθείᾳ καὶ τῷ *Ν* σημείῳ τῇ ὑπὸ τῶν *ΗΖ*, *ΖΕ* ἴση ἡ ὑπὸ τῶν *ΛΝ*, *ΝΟ*, καὶ


1. διαγομένων] δια in ras. est. 9. *ΝΑΒ*] να in ras., β corr. ex γ. 10. μγ'. 12. τῇ] corr. ex ἡ. 16. ἀπώτερον] ἀπότερον. δέ] postea additum. 18. γάρ] γὰρ οὖν, sed γὰρ deletum. 31. *ΛΝ*] λη in ras.


κείσθω ἴση τῇ ΕΖ ἡ ΝΟ, καὶ ἐπεξεύχθωσαν αἱ ΛΟ, ΟΜ, καὶ περιγεγράφθω περὶ τὸ ΛΟΜ τρίγωνον τμῆμα τὸ ΛΟΜ. ἔσται δὴ καὶ ἡ πρὸς τῷ Ο σημείῳ γωνία ἴση τῇ πρὸς τῷ Ε τῇ ὑπὸ τῶν ΗΕΘ. ἔτι συνεστάτω πρὸς τῇ ΛΝ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ν τῇ ὑπὸ τῶν ΑΖΕ γωνίᾳ ἴση ἡ ὑπὸ τῶν ΛΝ, ΝΠ, καὶ κείσθω τῇ ΕΖ ἴση ἡ ΝΠ, καὶ ἐπεξεύχθωσαν αἱ ΛΠ, ΠΜ, καὶ περιγεγράφθω περὶ τὸ ΛΠΜ τρίγωνον τμῆμα κύκλου τὸ ΛΠΜ. ἔσται δὴ καὶ ἡ πρὸς τῷ Π σημείῳ γωνία ἴση τῇ ὑπὸ ΑΕΒ γωνίᾳ. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ πρὸς τῷ Ξ τῆς πρὸς τῷ Ο, ἀλλ' ἡ μὲν πρὸς τῷ Ξ σημείῳ ἴση τῇ ὑπὸ ΓΕΔ, ἡ δὲ πρὸς τῷ Ο τῇ ὑπὸ ΗΕΘ, μείζων ἄρα φανήσεται ἡ ΓΔ τῆς ΗΘ. πάλιν ἐπεὶ ἡ μὲν πρὸς τῷ Ο σημείῳ γωνία τῇ ὑπὸ ΗΕΘ ἐστιν ἴση, ἡ δὲ πρὸς τῷ Π τῇ ὑπὸ ΑΕΒ, μείζων δ' ἡ πρὸς τῷ Ο τῆς πρὸς τῷ Π, μείζων ἄρα καὶ ἡ ὑπὸ ΗΕΘ τῆς ὑπὸ ΑΕΒ. μείζων ἄρα φανήσεται ἡ ΗΘ τῆς ΑΒ. πασῶν ἄρα τῶν διὰ τοῦ Ζ διαγομένων εὐθειῶν καὶ ποιουσῶν πρὸς τῇ ΕΖ γωνίας μεγίστη μὲν ὀφθήσεται ἡ ΓΔ, ἐλαχίστη δὲ ἡ ΑΒ, διότι καὶ τῶν πρὸς τῷ Ε συνισταμένων γωνιῶν μεγίστη μέν ἐστιν ἡ ὑπὸ ΓΕΔ, ἐλαχίστη δὲ ἡ ὑπὸ ΑΕΒ, τῇ δὲ ὑπὸ ΗΕΘ ἄλλη μία μόνη ἴση συσταθήσεται ἀφαιρεθείσης ἴσης τῇ ΗΑ τῆς ΑΤ καὶ ἐπιζευχθείσης τῆς ΤΖ καὶ ἐκβληθείσης ἐπὶ τὸ Σ, ἡ ὑπὸ ΤΕΣ. τοῦτο δὲ δῆλον ἀπὸ τῶν πρὸς τοῖς Ξ, Ο, Π γωνιῶν. καὶ γὰρ τούτων ἐλαχίστη μὲν ἡ Π, ἐπεὶ καὶ ἡ ὑπὸ ΠΝΛ ἴση ἐστὶ τῇ ὑπὸ ΕΖΑ ἐλαχίστῃ γωνίᾳ, μεγίστη δὲ ἡ Ξ διὰ τὸ πρὸς ὀρθὰς εἶναι τὴν ΝΞ μεγίστην γινομένην τῶν διὰ τοῦ Ν διαγομένων εὐθειῶν ἐν τῷ ΛΞΜ τμήματι καὶ τὴν ἴσην αὐτῇ τιθεμένην ὑπερπίπτειν τὸ ΛΞΜ τμῆμα καὶ τὸ μὲν Ξ ἐσωτάτω πίπτειν τὸ δὲ Π ἐξωτάτω ἅτε μηδεμιᾶς ἐλάττονος γωνίας οὔσης τῆς ὑπὸ ΠΝΛ. τῆς δὲ ὑπὸ ΕΖΤ ἴσης οὔσης τῇ ὑπὸ ΕΖΗ, ὡς προδέδεικται, καὶ ἡ ἐφεξῆς ἄρα ἡ ὑπὸ ΕΖΣ ἴση ἐστὶ τῇ ὑπὸ ΕΖΘ, τουτέστι τῇ ὑπὸ ΟΝΜ. ὥστε ἑκατέρα τῶν ὑπὸ ΤΕΣ, ΗΕΘ τῇ πρὸς τῷ Ο ἴσαι εἰσίν. ἡ ἄρα ΗΘ τῇ ΤΣ ἴση φανήσεται. —

Ἔστω ἐλάττων ἡ ἀπὸ τοῦ ὄμματος ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένη τῆς ἐκ τοῦ κέντρου. ἀλλὰ δὴ περὶ τὰς διαμέτρους τοὐναντίον· ἡ γὰρ πρότερον μείζων νῦν ἐλάσσων φανήσεται, ἡ δὲ ἐλάσσων μείζων. ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ διήχθωσαν δύο διάμετροι αἱ ΑΒ, ΓΔ τέμνουσαι ἀλλήλας πρὸς ὀρθάς, ἑτέρα δέ τις τυχοῦσα διήχθω ἡ ΕΖ, ὄμμα δὲ ἔστω τὸ Θ, ἀφ' οὗ ἡ ἐπὶ τὸ κέντρον ἐπιζευχθεῖσα ἔστω ἡ ΗΘ ἐλάσσων οὖσα ἑκατέρας τῶν ἐκ τοῦ κέντρου. καὶ κείσθω τῇ τοῦ κύκλου διαμέτρῳ ἴση ἡ ΚΛ καὶ τετμήσθω δίχα κατὰ τὸ Μ, καὶ ἀνήχθω ἀπὸ τοῦ Μ σημείου πρὸς ὀρθὰς ἡ ΜΝ, καὶ ἔστω ἴση ἡ ΜΝ τῇ ΘΗ, καὶ περιγεγράφθω περὶ τὴν ΚΛ καὶ τὸ Ν σημεῖον

2. τμῆμα] σχῆμα. 4. τῇ ΛΝ...γωνίᾳ] in ras. 7. τὸ ΛΠΜ] τὸ Λ in ras. sunt. 10. Ο] in ras. 13. τῆς] (prius) m. recens; τῇ m. 1, ut lin. 14. 26. Π] in ras. 27. ΠΝΛ] Λ in ras. est. 30. ΗΕΘ] in ras. 32. μδ'. ἐλάττων] in ras. 33. ἀλλὰ] ἔσται? (uacat spatium 10 litt.).

τμῆμα κύκλου τὸ $NK\Lambda$. ἔστι δὴ ἔλασσον ἡμικυκλίου, ἐπειδήπερ ἡ MN ἐλάσσων ἐστὶ τῆς ἐκ τοῦ κέντρου. ἔστω δὴ πρὸς τῷ N γωνία






περιεχομένη ὑπὸ τῶν KN, ΛN ἴση τῇ πρὸς τῷ Θ περιεχομένῃ δὲ ὑπὸ τῶν $\Gamma\Theta$, $\Theta\Delta$. ἔτι κείσθω τῇ ὑπὸ τῶν $EH\Theta$ ἴση ἡ ὑπὸ τῶν $KM\Xi$, καὶ κείσθω τῇ $H\Theta$ ἴση ἡ $M\Xi$, καὶ περιγεγράφθω περὶ τὴν $K\Lambda$ καὶ τὸ Ξ σημεῖον τὸ $K\Xi\Lambda$ τμῆμα. ἔστιν ἄρα πρὸς τῷ Ξ σημείῳ γωνία ἡ περιεχομένη ὑπὸ τῶν $K\Xi\Lambda$ ἴση τῇ πρὸς τῷ Θ, περιεχομένῃ δὲ ὑπὸ τῶν $Z\Theta E$. ἔτι κείσθω τῇ ὑπὸ τῶν AH, $H\Theta$ ἴση ἡ ὑπὸ τῶν KM, MO, καὶ κείσθω ἡ MO τῇ $H\Theta$ ἴση, καὶ περιγεγράφθω περὶ τὴν $K\Lambda$ καὶ τὸ O τμῆμα. ἔσται δὴ ἡ πρὸς τῷ O γωνία περιεχομένη ὑπὸ τῶν $KO\Lambda$ ἴση τῇ πρὸς τῷ Θ γωνίᾳ περιεχομένῃ ὑπὸ τῶν $A\Theta B$. ἐπεὶ οὖν μείζων ἡ πρὸς τῷ O τῆς πρὸς τῷ Ξ, ἴση δὲ ἡ μὲν πρὸς τῷ O τῇ πρὸς τῷ Θ περιεχομένῃ δὲ ὑπὸ τῶν $A\Theta B$, ἡ δὲ πρὸς τῷ Ξ τῇ πρὸς τῷ Θ περιεχομένῃ δὲ ὑπὸ τῶν $E\Theta Z$, μείζων ἄρα φανήσεται ἡ AB τῆς EZ. πάλιν ἐπεὶ μείζων ἡ πρὸς τῷ Θ περιεχομένη ὑπὸ τῶν $E\Theta$, ΘZ τῆς πρὸς τῷ Θ περιεχομένης δὲ ὑπὸ τῶν $\Gamma\Theta\Delta$, μείζων ἄρα ὀφθήσεται ἡ EZ τῆς $\Gamma\Delta$:∾.

λθ΄.

Τῶν ἁρμάτων οἱ τροχοὶ ποτὲ μὲν κυκλοειδεῖς φαίνονται ποτὲ δὲ παρεσπασμένοι.

ἔστω τροχὸς ὁ $AB\Gamma\Delta$, καὶ διήχθωσαν διάμετροι αἱ BA, $\Gamma\Delta$ τέμνουσαι ἀλλήλας πρὸς ὀρθὰς κατὰ τὸ E σημεῖον, καὶ κείσθω ὄμμα μὴ ἐν τῷ ἐπιπέδῳ τοῦ κύκλου. ἐὰν ἄρα ἡ ἀπὸ τοῦ ὄμματος ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένη πρὸς ὀρθὰς ᾖ τῷ ἐπιπέδῳ ἢ ἴση τῇ ἐκ τοῦ κέντρου, αἱ διάμετροι πᾶσαι ἴσαι φανήσονται· ὥστε ὁ τροχὸς κυκλοειδὴς φαίνεται. ἐὰν δὲ ἡ ἀπὸ τοῦ ὄμματος ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένη μήτε πρὸς ὀρθὰς ᾖ τῷ ἐπιπέδῳ μήτε ἴση τῇ ἐκ τοῦ κέντρου, αἱ διάμετροι ἄνισοι φανήσονται, μία μὲν μεγίστη μία δὲ



2. ἔστω] scrib. ἔσται. τῷ] corr. ex τό. 3. ΛN] in ras. 5. $KM\Xi$] M in ras. est. 12. O] corr. ex β. 18. λθ΄] με΄. 25. ἢ ἴση — ἐπιπέδῳ lin. 29] om. 30. μήτε] in ras. 31. ἄνισοι] πᾶσαι.

ἐλαχίστη, πάσῃ δὲ ἄλλῃ μεταξὺ τῆς μεγίστης καὶ τῆς ἐλαχίστης διηγμένῃ ἄλλη μία μόνον ὀφθήσεται ἴση ἐπὶ τὰ ἕτερα μέρη διηγμένη· ὥστε ὁ τροχὸς παρεσπασμένος φαίνεται.

μ'.

Ἔστι τόπος, οὗ τοῦ ὄμματος μένοντος, τοῦ δὲ ὁρωμένου μεθισταμένου ἴσον ἀεὶ τὸ ὁρώμενον φαίνεται.

ἔστω ὄμμα τὸ Α, ὁρώμενον δὲ μέγεθος τὸ ΒΓ, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΑΒ, ΑΓ. καὶ περιγεγράφθω περὶ τὸ ΑΒΓ κύκλος ὁ ΑΒΓ. λέγω, ὅτι ἔστι τόπος, οὗ μένοντος μὲν τοῦ ὄμματος τοῦ δὲ ὁρωμένου μεγέθους μεθισταμένου ἴσον ἀεὶ τὸ ὁρώμενον φαίνεται.

μεθιστάσθω γάρ, καὶ ἔστω † τὸ Δ, τῇ δὲ ΑΒ ἴση ἐστὶν ἡ ΑΔ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΒΑ τῇ ΑΔ, ἡ δὲ ΒΓ τῇ ΓΔ, ἴση ἄρα καὶ ἡ ΒΑΓ τῇ ΔΑΓ. καὶ γὰρ ἐπὶ ἴσων περιφερειῶν εἰσιν· ὥστε ἴσαι εἰσίν. ἴσον ἄρα φανήσεται τὸ ὁρώμενον.

τὸ αὐτὸ δὲ συμβήσεται, καὶ εἰ τὸ ὄμμα ἐπὶ τοῦ κέντρου τοῦ κύκλου μένοι, τὸ δὲ ὁρώμενον ἐπὶ τῆς περιφερείας μεταβαίνοι.

μα'.

Ἔστι τις τόπος, οὗ τοῦ ὄμματος μεθισταμένου τοῦ δὲ ὁρωμένου μένοντος ἀεὶ ἴσον τὸ ὁρώμενον φαίνεται.

ἔστω γὰρ ὁρώμενον μὲν τὸ ΒΓ, ὄμμα δὲ τὸ Ζ, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΖΒ, ΖΓ, καὶ περιγεγράφθω περὶ τὸ ΒΖΓ τρίγωνον τμῆμά τι κύκλου τὸ ΒΖΓ, καὶ μετακείσθω τὸ Ζ ὄμμα ἐπὶ τὸ Δ, καὶ μεταπιπτέτωσαν αἱ ἀκτῖνες αἱ ΔΒ, ΔΓ. οὐκοῦν ἴση ἡ Δ γωνία τῇ Ζ· ἐν γὰρ τῷ αὐτῷ τμήματί εἰσιν. τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται. ἴσον ἄρα τὸ ΒΓ διὰ παντὸς φανεῖται τοῦ ὄμματος μεθισταμένου ἐπὶ τῆς ΒΔΓ περιφερείας.


μβ'.

Ἐὰν μέγεθός τι πρὸς ὀρθὰς ᾖ τῷ ὑποκειμένῳ ἐπιπέδῳ, τεθῇ δὲ τὸ ὄμμα ἐπί τι σημεῖον τοῦ ἐπιπέδου καὶ μεθίστηται τὸ ὁρώμενον ἐπὶ κύκλου περιφερείας κέντρον ἔχοντος τὸ ὄμμα, ἴσον ἀεὶ τὸ ὁρώμενον ὀφθήσεται κατὰ παράλληλον θέσιν τῇ ἐξ ἀρχῆς μεταβαῖνον.

ἔστω ὁρώμενόν τι μέγεθος τὸ ΑΒ πρὸς ὀρθὰς ὂν τῷ ἐπιπέδῳ, ὄμμα δὲ ἔστω τὸ Γ. καὶ ἐπεζεύχθω ἡ ΓΒ, καὶ κέντρῳ μὲν τῷ Γ

4. μ'] μϛ'. 12. μεθιστάσθω] supra scriptum est τὸ βγ m. 2. 12—15] corruptum. 14. ΒΑ] α e corr. ΑΔ] e corr. 15. ΔΑΓ] in ras. 20. μα'] μζ'. 31. ΒΔΓ] γ e corr., supra β est ζ. 32. μβ'] μη'.

διαστήματι δὲ τῷ ΓΒ κύκλος γεγράφθω ὁ ΒΔ. λέγω, ὅτι, ἐὰν ἐπὶ τῆς τοῦ κύκλου περιφερείας μεθίστηται τὸ ΑΒ μέγεθος ἀπὸ τοῦ Γ ὄμματος, ἴσον ὀφθήσεται τὸ ΑΒ. καὶ γὰρ ἡ ΑΒ ὀρθή ἐστι καὶ ποιεῖ πρὸς τὴν ΒΓ γωνίαν, πᾶσαι δὲ αἱ ἀπὸ τοῦ Γ κέντρου προσπίπτουσαι πρὸς τὴν τοῦ κύκλου περιφέρειαν εὐθεῖαι ἴσας γωνίας ποιοῦσιν. ἴσον ἄρα τὸ ὁρώμενον ὀφθήσεται μέγεθος.




ἐὰν δὲ ἀπὸ τοῦ Γ κέντρου πρὸς ὀρθὰς ἀνασταθῇ εὐθεῖα, ἐπὶ δὲ ταύτης τὸ ὄμμα τεθῇ, καὶ μετακινῆται τὸ ὁρώμενον μέγεθος κατὰ τῆς τοῦ κύκλου περιφερείας παράλληλον ὂν τῇ εὐθείᾳ, ἐφ' ἧς τὸ ὄμμα, ἴσον ἀεὶ τὸ ὁρώμενον ὀφθήσεται.

μγ'.

Ἐὰν δὲ τὸ ὁρώμενον μὴ πρὸς ὀρθὰς ᾖ τῷ ὑποκειμένῳ ἐπιπέδῳ μεθίστηται δὲ ἐπὶ κύκλου περιφερείας ἴσον ὂν τῇ ἐκ τοῦ κέντρου, ποτὲ μὲν ἴσον ἑαυτῷ ποτὲ δὲ ἄνισον ὀφθήσεται κατὰ παράλληλον θέσιν τῇ ἐξ ἀρχῆς μεταβαῖνον.

ἔστω κύκλος ὁ ΑΔ, καὶ εἰλήφθω ἐπὶ τῆς περιφερείας αὐτοῦ σημεῖον τὸ Δ, καὶ ἐφεστάτω μὴ πρὸς ὀρθὰς τῷ κύκλῳ εὐθεῖα ἡ ΔΖ ἴση οὖσα τῇ ἐκ τοῦ κέντρου, ὄμμα δὲ ἔστω τὸ Ε. λέγω, ὅτι ἡ ΔΖ, ἐὰν ἐπὶ τῆς τοῦ κύκλου περιφερείας μεθίστηται, ποτὲ ἴσον φανήσεται, ποτὲ μείζων, ποτὲ ἐλάσσων. ἤχθω δὴ διὰ τοῦ Ε, ὅ ἐστι κέντρον, τῇ ΔΖ παράλληλος ἡ ΓΕ, καὶ ἔστω ἴση τῇ ΔΖ ἡ ΕΓ. καὶ ἤχθω ἀπὸ τοῦ Γ σημείου ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος ἡ ΓΗ καὶ συμβαλλέτω τῷ ἐπιπέδῳ κατὰ τὸ Η σημεῖον. καὶ ἐπιζευχθεῖσα ἡ ΕΗ ἐκβεβλήσθω καὶ συμβαλλέτω τῇ περιφερείᾳ κατὰ τὸ Α σημεῖον, καὶ ἤχθω διὰ τοῦ Α τῇ ΓΕ παράλληλος ἡ ΑΒ, καὶ ἔστω ἡ ΑΒ τῇ ΔΖ ἴση. λέγω, ὅτι ἡ ΑΒ πασῶν τῶν ἐπὶ τῆς τοῦ κύκλου περιφερείας μεθισταμένων εὐθειῶν ἐλάσσων φανήσεται. ἐπεζεύχθωσαν γὰρ εὐθεῖαι αἱ ΕΔ, ΓΖ, ΓΒ, ΕΒ, ΖΕ. ἐπεὶ οὖν ἡ ΓΕ τῇ ΑΒ παράλληλός ἐστι καὶ ἴση, καὶ ἡ ΕΑ ἄρα τῇ ΓΒ ἴση τε καὶ παράλ-




1. δὲ τῷ] m. 2; δὲ τὸ m. 1. 12. μετακινῆται] μετακινεῖται. 15. μγ'] μθ'. 23. ἴσον] ἴσων. 39. ΕΒ] supra.

ληλός ἐστιν. παραλληλόγραμμον ἄρα ἐστὶ τὸ $AEB\Gamma$. διὰ τὰ αὐτὰ δὴ παραλληλόγραμμόν ἐστι καὶ τὸ $E\Delta Z\Gamma$. λείπει δὲ δεῖξαι, ὅτι ἔλασσον φαίνεται τὸ αὐτὸ καὶ μεῖζον. φανερὸν δή, ὅτι ἐλάσσων ἐστὶ γωνία ἡ ὑπὸ ΓEA τῆς ὑπὸ $\Gamma E\Delta$, ἐπεὶ δέδεικται, ὅτι πασῶν † τῶν διὰ τοῦ κέντρου διαγομένων εὐθειῶν καὶ ποιουσῶν [ὀρθὴν] γωνίαν ἐλαχίστη ἐστὶν ἡ ὑπὸ ΓEA. ἐλάσσων ἄρα ἐστὶ καὶ τῆς ὑπὸ $\Gamma E\Delta$. καί ἐστι τῆς μὲν ὑπὸ ΓEA ἡμίσεια ἡ ὑπὸ $BE\Gamma$· παραλληλόγραμμον γὰρ ἰσόπλευρον τὸ BE· τῆς δὲ ὑπὸ $\Gamma E\Delta$ ἡ ὑπὸ $ZE\Delta$· παραλληλόγραμμον γὰρ ἰσόπλευρον καὶ τὸ ZE. καὶ ἡ ὑπὸ BEA ἄρα ἐλάττων ἐστὶ τῆς ὑπὸ $ZE\Delta$. ὥστε καὶ τὸ AB μέγεθος τοῦ ΔZ μεγέθους ἔλαττον ὀφθήσεται. καὶ φανερὸν ἐκ τοῦ προδεδειγμένου λήμματος, ὅτι ἐλάχιστον μὲν ὀφθήσεται πρὸς τῷ A, μέγιστον δὲ πρὸς τῷ κατὰ διάμετρον τῷ A σημείῳ, ἴσον δὲ τὸ ἴσον ἀπέχον ἐφ' ἑκάτερα τοῦ A σημείου.

μδ'.

Ἐὰν δὲ τὸ ὁρώμενον πρὸς ὀρθὰς ᾖ τῷ ὑποκειμένῳ ἐπιπέδῳ, μεθίστηται δὲ τὸ ὄμμα ἐπὶ κύκλου περιφερείας κέντρον ἔχοντος τὸ σημεῖον, καθ' ὃ συμβάλλει τὸ μέγεθος τῷ ἐπιπέδῳ, ἴσον ἀεὶ τὸ ὁρώμενον φανήσεται.


ἔστω ὁρώμενον μέγεθος τὸ AB πρὸς ὀρθὰς τῷ ὑποκειμένῳ ἐπιπέδῳ, ὄμμα δὲ ἔστω τὸ Γ. καὶ κέντρῳ μὲν τῷ B διαστήματι δὲ τῷ $B\Gamma$ κύκλος γεγράφθω ὁ $\Gamma\Delta$. λέγω, ὅτι, ἐὰν μεθίστηται τὸ Γ ἐπὶ τῆς τοῦ κύκλου περιφερείας, ἴσον ἀεὶ τὸ AB φανήσεται. τοῦτο δὲ φανερόν ἐστιν. πᾶσαι γὰρ αἱ ἀπὸ τοῦ Γ σημείου πρὸς τὸ AB προσπίπτουσαι ἀκτῖνες πρὸς ἴσας γωνίας προσπίπτουσιν, ἐπειδήπερ ἡ πρὸς τῷ B γωνία ὀρθή ἐστιν. ἴσον ἄρα τὸ ὁρώμενον ὀφθήσεται.



με'.

Τοῦ ὁρωμένου μένοντος τοῦ δὲ ὄμματος μεθισταμένου κατ' εὐθεῖαν γραμμὴν πλαγίαν πρὸς τὸ ὁρώμενον μέγεθος οὖσαν ποτὲ μὲν ἴσον ποτὲ δὲ ἄνισον τὸ ὁρώμενον φαίνεται.

ἔστω ὁρώμενον μὲν τὸ AB, [ὄμμα δὲ τὸ E] εὐθεῖα δὲ πλαγία ἡ $\Gamma\Delta$, καὶ προσεκβεβλήσθω τῇ BA ἐπ' εὐθείας ἡ ΓA καὶ συμβαλλέτω τῇ $\Delta\Gamma$ κατὰ τὸ Γ, καὶ μεθιστάσθω ἐπ' αὐτῆς τὸ ὄμμα. λέγω, ὅτι ποτὲ μὲν ἴσον ποτὲ δὲ




2. τὸ $E\Delta Z\Gamma$] mg. m. 2. ὅτι] mg. m. 2. 4. ἐπεί] sequitur ras. 2 litt. 7. ΓEA] A in ras. $BE\Gamma$] BEA? 14. μδ'] ν'. 17. ὅ] in ras. 29. με'] να'.

ἄνισον φαίνεται τὸ AB. εἰλήφθω γὰρ τῶν $B\Gamma$, ΓA μέση ἀνάλογον ἡ ΓE, καὶ ἔστω ὄμμα τὸ E καὶ μετακεκινήσθω καὶ ἔστω ἐπὶ τῆς αὐτῆς εὐθείας κατὰ τὸ Δ. λέγω, ὅτι το ὑπὸ τῶν E, Δ ὁρώμενον ἄνισον φαίνεται. ἐπεζεύχθωσαν εὐθεῖαι αἱ AE, EB, $A\Delta$, $B\Delta$, καὶ περιγεγράφθω περὶ τὸ AEB τρίγωνον τμῆμα τὸ AEB, καὶ κείσθω τῇ ὑπὸ τῶν $\Gamma\Delta$, ΔB γωνίᾳ ἴση γωνία ἡ ὑπὸ τῶν ΓA, AZ, καὶ ἐπεζεύχθω ἡ BZ. ἐν κύκλῳ ἄρα ἐστὶ τὰ B, A, Z, Δ σημεῖα. ἐπεὶ οὖν μείζων γωνία ἡ ὑπὸ AEB τῆς ὑπὸ AZB, ἡ δὲ ὑπὸ AZB τῇ ὑπὸ τῶν $A\Delta$, ΔB ἴση ἐστίν, ἐπειδήπερ ἐν τῷ αὐτῷ τμήματί ἐστιν, καὶ ἡ ὑπὸ AEB ἄρα τῆς ὑπὸ $A\Delta B$ μείζων ἐστίν. ἀλλ' ὑπὸ μὲν τῆς ὑπὸ $A\Delta B$ τὸ AB βλέπεται τοῦ ὄμματος ἐπὶ τοῦ Δ ὄντος, ὑπὸ δὲ τῆς ὑπὸ AEB τὸ αὐτὸ τὸ AB βλέπεται τοῦ ὄμματος ἐπὶ τοῦ E ὄντος. ἄνισον ἄρα τὸ ὁρώμενον φαίνεται ἐπὶ τῆς $E\Delta$ εὐθείας τοῦ ὄμματος μεθισταμένου. φανερὸν δέ, ὅτι καὶ ἐπὶ τῆς $E\Gamma$ μεθισταμένου τοῦ ὄμματος ἄνισον τὸ ὁρώμενον φαίνεται καὶ μέγιστον μὲν κατὰ τὴν πρὸς τῷ E θέσιν, μεῖζον δὲ ἀεὶ κατὰ τὴν ἐγγύτερον αὐτοῦ ἐφ' ὁποτερασοῦν τῶν $E\Delta$, $E\Gamma$ εὐθειῶν, ἴσον δὲ κατὰ τὰ Z καὶ Δ καὶ τὰ ὁμοίως αὐτοῖς λαμβανόμενα διὰ τὸ ἐν τῷ αὐτῷ τμήματι εἶναι τὰς γωνίας.

ἄλλως.

Ἔστω γὰρ ὁρώμενον τὸ $K\Delta$, εὐθεῖα δὲ ἡ $B\Gamma$ συμπίπτουσα τῇ $K\Delta$ προσεκβαλλομένῃ. εἰλήφθω τῆς $\Gamma\Delta$ καὶ τῆς ΓK μέση ἀνάλογον ἡ ΓZ, καὶ ἐπεζεύχθω ἡ ZK καὶ ἡ $Z\Delta$, περὶ δὲ τὴν $K\Delta$ τμῆμα γεγράφθω, ὃ δέχεται τὴν ὑπὸ τῶν $KZ\Delta$. ἐφάψεται δὴ τῆς $B\Gamma$ εὐθείας, ἐπειδήπερ ὡς ἡ $K\Gamma$ πρὸς τὴν ΓZ, οὕτως ἡ ΓZ πρὸς τὴν $\Gamma\Delta$. κείσθω δὴ τὸ ὄμμα ἐπὶ τοῦ B σημείου, καὶ προσεκβεβλήσθωσαν αἱ ΔB, BK. ἐπεζεύχθω δὲ ἡ $\Sigma\Delta$. οὐκοῦν ἴση ἡ Φ γωνία τῇ Σ γωνίᾳ· ἐν γὰρ τῷ αὐτῷ τμήματί εἰσιν. καί ἐστιν ἡ Σ τῆς B γωνίας μείζων. καὶ ἡ Φ ἄρα γωνία τῆς B μείζων ἐστίν. τοῦ ἄρα ὄμματος ἐπὶ τοῦ Z ὄντος μεῖζον φαίνεται τὸ $K\Delta$ ἤπερ ἐπὶ τοῦ B.




μϛ'.

Τὸ δ' αὐτὸ συμβήσεται, κἂν παράλληλος ᾖ ἡ εὐθεῖα γραμμὴ τῷ ὁρωμένῳ μεγέθει.

1. Post γάρ ras. 2 u. 3 litt. 7. ἡ BZ] in ras.; sequitur ras. 2 litt. 11. τὸ AB] om. 12. ὑπὸ δὲ τῆς] bis. 17. ὁποτερασοῦν] -ασ- in ras. 21. νβ' additur. 25. δέχεται] συνέχεται. τήν] om. 26. τῶν] τοῦ. δή] in ras. 28. $K\Gamma$] Γ in ras. 29. ΓZ] in ras. $\Gamma\Delta$] in ras. 33. B] (prius) post ras. 1 litt. 36. μϛ'] νγ'.

ἔστω ὁρώμενον μέγεθος τὸ AB καὶ τετμήσθω δίχα κατὰ τὸ E σημεῖον, καὶ ἀνήχθω ἀπὸ τοῦ E τῇ AB πρὸς ὀρθὰς ἡ EZ, ἐφ' ἧς ὄμμα κείσθω τὸ Z, καὶ ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ZA, ZB, καὶ περιγεγράφθω περὶ τὸ AZB τρίγωνον τμῆμα τὸ AZB, καὶ ἤχθω διὰ τοῦ Z τῇ AB παράλληλος ἡ $Z\Delta$, καὶ μετακείσθω τὸ ὄμμα ἐπὶ τὸ Δ, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ $A\Delta$, ΔB. λέγω, ὅτι ἀπὸ τῶν Δ, Z ἄνισα φανήσεται. ἐπεζεύχθω ἡ AH. ἐπεὶ οὖν ἴση γωνία ἡ ὑπὸ AZB τῇ ὑπὸ AHB, ἀλλ' ἡ ὑπὸ AHB τῆς ὑπὸ $A\Delta B$ μείζων ἐστίν, καὶ ἡ ὑπὸ AZB ἄρα τῆς ὑπὸ $A\Delta B$ μείζων ἐστίν. καὶ ὑπὸ μὲν τῆς ὑπὸ AZB τὸ AB βλέπεται τοῦ ὄμματος ἐπὶ τοῦ Z ὄντος, ὁμοίως δὲ καὶ ὑπὸ τῆς $A\Delta B$ ἐπὶ τοῦ Δ ὄντος. ἄνισον ἄρα τὸ ὁρώμενον φαίνεται ἀπὸ τῶν Δ, Z.




καὶ ἐὰν τεθῇ ἴση τῇ ΔZ ἡ $Z\Gamma$, ἔλαττον μὲν καὶ ἀπὸ τοῦ Γ φαίνεται ἤπερ ἀπὸ τοῦ Z, ἀπὸ δὲ τῶν Γ, Δ ἴσον.

μζ'.

Εἰσὶ τόποι, ἐφ' οὓς τοῦ ὄμματος μετατιθεμένου τὰ ἴσα μεγέθη καὶ κοινῶς ἀπολαβόντα τόπους τινὰς ποτὲ μὲν ἴσα ποτὲ δὲ ἄνισα φαίνεται.


ἔστω ὄμμα μὲν τὸ Θ, μεγέθη δὲ τὰ AB, $B\Gamma$, καὶ ἤχθω ἀπὸ τοῦ B πρὸς ὀρθὰς ἡ BZ, καὶ προσεκβεβλήσθω ἐπὶ τὸ Δ. φανερὸν δή, ὅτι καθ' ὁποιονοῦν τῆς $Z\Delta$ μέρος ἂν τεθῇ τὸ ὄμμα, τὰ AB, $\Gamma\Delta$ ἴσα φανήσεται. μετακείσθω δὴ τὸ ὄμμα καὶ ἔστω τὸ E. λέγω, ὅτι ἀπὸ τοῦ E ἄνισα φαίνεται. προσπιπτέτωσαν ἀκτῖνες αἱ AE, EB, $E\Gamma$, καὶ περιγεγράφθω περὶ τὸ $A\Gamma E$ τρίγωνον ὁ $AE\Delta\Gamma$ κύκλος, καὶ προσεκβεβλήσθω τῇ EB ἡ BH. ἐπεὶ οὖν ἴση ἡ $A\Delta$ περιφέρεια τῇ $\Delta\Gamma$ περιφερείᾳ, μείζων δὲ ἡ $A\Delta H$ περιφέρεια τῆς $H\Gamma$ περιφερείας, μείζων ἄρα φανήσεται ἡ AB τῆς $B\Gamma$. κἂν μεταβαίνῃ δὲ ἐπὶ τῆς EH, ἄνισα ὁμοίως φανήσεται, καὶ ἐπὶ τῶν τοῦ κύκλου μερῶν χωρὶς τῆς πρὸς ὀρθὰς ἐὰν τεθῇ, ἄνισα φαίνεται, καὶ ἐὰν ἐκτὸς τοῦ κύκλου τεθῇ μὴ ἐπ' εὐθείας ὂν τῇ ΔZ, ἄνισα φαίνεται.



4. τμῆμα] in mg. add. κύκλου m. 2. 9. AH] in ras. 16. ἀπό] ὑπό. 19. μζ'] νδ'. 23. Θ] m. 2. τά] τό. AB, $B\Gamma$] in ras. 24. BZ] B e corr. ἐπὶ τὸ Δ] corr. ex ἀπὸ τοῦ Z. 25. ἄν] ἐάν.

ἄλλως.


Ἔστω γὰρ ἴση ἡ ΒΓ τῇ ΓΔ, καὶ περὶ μὲν τὴν ΒΓ ἡμικύκλιον γεγράφθω τὸ ΒΖΓ, περὶ δὲ τὴν ΓΔ μεῖζον ἡμικυκλίου τὸ ΓΖΔ. καὶ φανερόν, ὅτι τεμεῖ τὸ προειρημένον ἡμικύκλιον. δυνατὸν δέ ἐστιν ἐπὶ τῆς ΓΔ γράψαι τμῆμα μεῖζον ἡμικυκλίου· ἐὰν γὰρ ὑποθώμεθα ὀξεῖάν τινα γωνίαν, δυνατὸν ἡμῖν ἐστιν ἐπὶ τῆς ΓΔ γράψαι τμῆμα κύκλου δεχόμενον γωνίαν ἴσην τῇ ὑποκειμένῃ ὀξείᾳ γωνίᾳ, ὡς ἀπὸ τοῦ λγʹ τοῦ τρίτου τῶν ἐπιπέδων, καὶ ἔσται τὸ συνιστάμενον ἐπʼ αὐτῆς μεῖζον ἡμικυκλίου, ὡς ἀπὸ τοῦ λαʹ τοῦ τρίτου τῶν ἐπιπέδων. καὶ ἐπεξεύχθωσαν αἱ ΒΖ, ΖΓ, ΖΔ. οὐκοῦν ἡ ἐν τῷ ἡμικυκλίῳ γωνία μείζων ἐστὶ τῆς ἐν τῷ μείζονι τμήματι· τὰ δὲ ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεται. μείζων ἄρα ἡ ΒΓ τῆς ΓΔ φαίνεται· ἦν δὲ καὶ ἴση. ἔστιν ἄρα τόπος κοινός, ἐν ᾧ τὸ ὄμμα ἐὰν τεθῇ, ἄνισα φαίνεται τὰ ἴσα. ἴσα δὲ φανήσεται, ἐπειδὰν ἐπὶ τῶν ἐξ ἀρχῆς σημείων ᾖ † τῶν ἐπὶ τῶν ΒΓ, ΓΔ μειζόνων ἡμικυκλίων.



μηʹ.

Ἔστι τις τόπος κοινός, ἀφʼ οὗ τὰ ἄνισα μεγέθη ἴσα φαίνεται.

ἔστω γὰρ μείζων ἡ ΒΓ τῆς ΓΔ, καὶ περὶ μὲν τὴν ΒΓ μεῖζον ἡμικυκλίου τμῆμα γεγράφθω, περὶ δὲ τὴν ΓΔ ὅμοιον τῷ περὶ τὴν ΒΓ, τουτέστι δεχόμενον γωνίαν ἴσην τῇ ἐν τῷ ΒΓΖ. τεμοῦσιν ἄρα ἄλληλα τὰ τμήματα. τεμνέτωσαν κατὰ τὸ Ζ, καὶ ἐπεξεύχθωσαν αἱ ΖΒ, ΖΓ, ΖΔ. οὐκοῦν ἐπεὶ ἴσαι εἰσὶν αἱ ἐν τοῖς ὁμοίοις τμήμασι γωνίαι ἀλλήλαις, ἴσαι εἰσὶ καὶ αἱ ἐν τοῖς ΒΖΓ, ΓΖΔ τμήμασι γωνίαι ἀλλήλαις. τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται. τοῦ ἄρα ὄμματος τιθεμένου ἐπὶ τοῦ Ζ σημείου ἴση ἂν φαίνοιτο ἡ ΒΓ τῇ ΓΔ· ἔστι δὲ μείζων. ἔστιν ἄρα τόπος κοινός, ἀφʼ οὗ τὰ ἄνισα μεγέθη ἴσα φαίνεται.




μθʹ.

Εἰσὶ τόποι, ἐφʼ οὓς τοῦ ὄμματος μετατιθεμένου τὰ ἴσα μεγέθη καὶ πρὸς ὀρθὰς ὄντα τῷ ὑποκειμένῳ ἐπιπέδῳ ποτὲ μὲν ἴσα ποτὲ δὲ ἄνισα φαίνεται.

1. ἄλλως] νεʹ. 7. λγʹ] in ras. 9. λαʹ] λγʹ in ras. 10. ΖΓ, ΖΔ] Γ, Ζ in ras. sunt. 20. μηʹ] νϛʹ. 22. μεῖζον] m. 2; μείζων m. 1. 29. αἱ] supra. 30. ΒΖΓ] in ras. 35. μθʹ] νζʹ. 37. ἐπιπέδῳ] sequitur: λέγω ὅτι ἔστι τις τόπος, sed deleta; cfr. p. 123, 2.

ἔστω μεγέθη τὰ ΑΒ, ΓΔ πρὸς ὀρθὰς ὄντα τῷ ὑποκειμένῳ ἐπιπέδῳ. λέγω, ὅτι ἔστι τις τόπος, οὗ τοῦ ὄμματος τεθέντος τὰ ΑΒ, ΓΔ ἴσα φαίνεται. ἐπεζεύχθω ἀπὸ τοῦ Β ἐπὶ τὸ Δ ἡ ΒΔ, καὶ τετμήσθω δίχα κατὰ τὸ Ε σημεῖον, καὶ ἀνήχθω ἀπὸ τοῦ Ε πρὸς ὀρθὰς τῇ ΔΒ ἡ ΕΖ. λέγω, ὅτι, ἐὰν ἐπὶ τῆς ΕΖ τὸ ὄμμα τεθῇ, τὰ ΑΒ, ΓΔ ἴσα φανήσεται. κείσθω γὰρ ἐπὶ τῆς ΕΖ τὸ ὄμμα, καὶ ἔστω τὸ Ζ, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΑΖ, ΖΒ, ΖΕ, ΖΔ, ΖΓ. ἴση δὴ εὐθεῖα ἡ ΖΒ τῇ ΖΔ· ἀλλὰ καὶ ἡ ΑΒ τῇ ΓΔ ὑπόκειται ἴση. δύο ἄρα [ἴσαι] αἱ ΑΒ, ΒΖ δυσὶ ταῖς ΓΔ, ΔΖ ἴσαι εἰσί· καὶ περιέχουσιν ὀρθὰς γωνίας· ἴση ἄρα ἐστὶν ἡ ΑΖ τῇ ΓΖ, καὶ τῶν πρὸς ταῖς βάσεσι κειμένων γωνιῶν ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΖΑ τῇ ὑπὸ ΔΖΓ. τὰ ΑΒ, ΓΔ ἄρα ἴσα ὀφθήσεται.




λέγω δή, ὅτι καὶ ἄνισα ὀφθήσεται.

μετακείσθω δὴ τὸ ὄμμα καὶ ἔστω τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΗΕ, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΗΒ, ΗΑ, ΗΓ, ΗΔ. μείζων ἄρα ἡ ΗΒ τῆς ΗΔ. ἀφῃρήσθω ἀπὸ τῆς ΗΒ τῇ ΗΔ ἴση ἡ ΒΘ, καὶ ἐπεζεύχθω ἡ ΑΘ. ἴση ἄρα γωνία ἡ ὑπὸ ΒΘΑ τῇ ὑπὸ ΓΗΔ. ἀλλὰ ἡ ὑπὸ ΒΘΑ τῆς ὑπὸ ΒΗΑ μείζων ἐστίν, ἡ ἐκτὸς τῆς ἐντός· καὶ ἡ ὑπὸ ΓΗΔ ἄρα τῆς ὑπὸ ΒΗΑ ἐστι μείζων. μείζων ἄρα φανήσεται ἡ ΓΔ τῆς ΑΒ.

ν'.

Εἰσὶ τόποι τινές, ἐν οἷς τοῦ ὄμματος τεθέντος τὰ ἄνισα μεγέθη εἰς τὸ αὐτὸ συντεθέντα ἴσα ἑκατέρῳ τῶν ἀνίσων φανήσεται.



ἔστω γὰρ μείζων ἡ ΒΓ τῆς ΓΔ καὶ περὶ τὰς ΒΓ, ΓΔ ἡμικύκλια γεγράφθωσαν καὶ περὶ ὅλην τὴν ΒΓ. οὐκοῦν ἴση ἡ ἐν τῷ ΒΑΔ ἡμικυκλίῳ γωνία τῇ ἐν τῷ ΒΚΓ· ὀρθὴ γάρ ἐστιν ἑκατέρα αὐτῶν. ἴση ἄρα φαίνεται ἡ ΒΓ τῇ ΒΔ· ὡσαύ-


4. Ε] supra m. 2. 12. δὴ εὐθεῖα] in ras. 16. ὀρθάς] scrib. ἴσας, nisi potius lacuna statuenda. Lin. 16—18 ita scribuntur: ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΖΑ τῇ ὑπὸ ΔΖΓ ἡ ΑΖ τῇ ΓΖ καὶ τῶν πρὸς ταῖς βάσεσι κειμένων γωνιῶν (deleta omnia) ὑφ' ἃς αἱ ἴσαι (mg. m. 2) πλευραὶ ὑποτείνουσι κώνου σχῆμα (deleta); mg. m. 2: γρ. αἱ πλευραὶ ὑποτείνουσιν. 21. δή] δέ. 28. ν'] νη'. 31. τάς] corr. ex τῆς. 35. τῇ] corr. ex τήν.


τως δὲ καὶ ἡ ΒΔ τῇ ΓΔ τῶν ὀμμάτων ἐπὶ τῶν ΒΑΔ, ΓΖΔ ἡμικυκλίων κειμένων. εἰσί τινες ἄρα τόποι, ἐν οἷς τὰ ἄνισα μεγέθη δύο εἰς ταὐτὸ συντεθέντα ἴσα ἑκατέρῳ τῶν ἀνίσων φαίνεται.

να'.

Εὑρεῖν τόπους, ἀφ' ὧν τὸ ἴσον μέγεθος ἥμισυ φανεῖται ἢ τέταρτον μέρος ἢ καθόλου ἐν τῷ λόγῳ, ἐν ᾧ καὶ ἡ γωνία τέμνεται.

ἔστω ἴσον [τῷ ΒΓ] τὸ ΑΖ, καὶ περὶ τὴν ΑΖ γεγράφθω ἡμικύκλιον, καὶ γεγράφθω ἐν αὐτῷ ὀρθὴ γωνία ἡ Κ· τῇ δὲ ΑΖ ἴση





ἔστω ἡ ΒΓ, καὶ περὶ τὴν ΒΓ περιγεγράφθω τμῆμα, ὃ δέξεται τῆς πρὸς τῷ Κ γωνίας ἡμίσειαν. οὐκοῦν ἡ Κ γωνία διπλασία ἐστὶ τῆς Δ γωνίας. διπλασία ἄρα φαίνεται ἡ ΑΖ τῆς ΒΓ, τῶν ὀμμάτων ἐπὶ τῶν ΑΚΖ, ΒΔΓ περιφερειῶν κειμένων.

νβ'.

Ἔστω ὁρώμενόν τι μέγεθος τὸ ΑΒ. λέγω, ὅτι τὸ ΑΒ ἔχει τόπους, ἐν οἷς τοῦ ὄμματας τεθέντος τὸ αὐτὸ ποτὲ ἥμισυ ποτὲ ὅλον ποτὲ τέταρτον φαίνεται καὶ καθόλου ἐν τῷ δοθέντι λόγῳ.

περιγεγράφθω περὶ τὴν ΑΒ κύκλος ὁ ΑΕΒ ὥστε τὴν ΑΒ μὴ εἶναι διάμετρον, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου, καὶ ἔστω τὸ Γ, ἐφ' οὗ κείσθω τὸ ὄμμα, καὶ ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ΑΓ, ΓΒ. ὑπὸ τῆς ΑΓΒ ἄρα τὸ ΑΒ βλέπεται. κείσθω δὴ τὸ ὄμμα ἐπὶ τῆς τοῦ κύκλου περιφερείας, καὶ ἔστω τὸ Ε, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΕΑ, ΕΒ. ἐπεὶ οὖν ἡ ὑπὸ ΑΓΒ γωνία τῆς ὑπὸ ΑΕΒ ἐστι διπλῆ, τὸ ΑΒ ἄρα ἀπὸ τοῦ Γ διπλάσιον ὁρᾶται τοῦ ἀπὸ τοῦ Ε. ὁμοίως καὶ τέταρτον μέρος ὀφθήσεται, ἐὰν ἡ γωνία τῆς γωνίας ᾖ τετραπλῆ καὶ ἐν τῷ δοθέντι λόγῳ.


νγ'.

Τῶν ἴσῳ τάχει φερομένων καὶ ἐπὶ μιᾶς πρὸς ὀρθὰς αὐτοῖς οὔσης εὐθείας τὰ ἐπὶ τὰ αὐτὰ μέρη πέρατα ἐχόντων προσιόντων μὲν

3. ἑκατέρῳ] ἑκατέρων. 4. να'] νθ'. 7. τῷ ΒΓ] supra m. 2. ἡμικύκλιον] sequitur: ἐν ᾧ ἐγγεγράφθω τμῆμα τυχόν, sed deletum. 10. Κ (alt.)] sequitur ras. 1 litterae. 11. Δ] in ras. 13. νβ'] ξ'. 21. ΑΓΒ] in ras., ut lin. 24. 29. νγ'] ξα'.

πρὸς τὴν ἀγομένην διὰ τοῦ ὄμματος παράλληλον τῇ εἰρημένῃ εὐθείᾳ τὸ πορρώτερον τοῦ ὄμματος τοῦ ἐγγύτερον προηγεῖσθαι δόξει, παραλλαξάντων δὲ τὸ μὲν προηγούμενον ἐπακολουθεῖν, τὸ δὲ ἐπακολουθοῦν προηγεῖσθαι.

φερέσθω γὰρ ἰσοταχῶς τὰ ΒΓ, ΔΖ, ΚΑ ἐπὶ μιᾶς πρὸς ὀρθὰς αὐτοῖς οὔσης εὐθείας τῆς ΓΑ τὰ ἐπὶ τὰ αὐτὰ μέρη πέρατα ἔχοντα τὰ Γ, Ζ, Α, καὶ ἀπὸ τοῦ Μ ὄμματος παράλληλος ἤχθω τῇ ΓΑ ἡ ΜΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΜΓ, ΜΖ, ΜΑ. οὐκοῦν προηγούμενον μὲν δοκεῖ τὸ ΒΓ, ἐπακολουθοῦν δὲ τὸ ΚΑ διὰ τὸ καὶ τῶν ἀπὸ τοῦ ὄμματος προσπιπτουσῶν ἀκτίνων τὴν ΜΓ ἐπὶ τὸ Γ παρῆχθαι δοκεῖν μᾶλλον τῶν ἄλλων ἀκτίνων.



τὸ ἄρα ΜΓ προηγεῖσθαι δόξει προσιόντων, ὡς εἴρηται. παραλλαξάντων δὲ τῶν ΒΓ, ΔΖ, ΚΑ καὶ ὡς τῶν ΝΞ, ΠΡ, ΣΤ γενομένων προσπιπτέτωσαν ἀκτῖνες αἱ ΜΝ, ΜΠ, ΜΣ. οὐκοῦν τὸ ΝΞ παρῆχθαι δοκεῖ ἐπὶ τὸ Ν διὰ τὸ καὶ τὴν ΜΝ ἀκτῖνα παρῆχθαι ἐπὶ τὸ Ν μᾶλλον τῶν ἄλλων ἀκτίνων· τὸ ἄρα ΣΤ ἐπὶ τὸ Τ παρῆκται διὰ τὸ καὶ τὴν ΜΣ παρῆχθαι ὡς ἐπὶ τὸ Τ μᾶλλον τῶν ἄλλων ἀκτίνων. τὸ μὲν ἄρα ΒΓ προηγούμενον ἐπὶ τοῦ ΝΞ γενόμενον δόξει ἐπακολουθεῖν, τὸ δὲ ΑΚ ἐπακολουθοῦν ἐπὶ τοῦ ΣΤ γενόμενον δόξει προηγεῖσθαι.

νδʹ.

Ἐάν τινων φερομένων πλειόνων ἀνίσῳ τάχει συμπαραφέρηται ἐπὶ τὰ αὐτὰ καὶ τὸ ὄμμα, τὰ μὲν τῷ ὄμματι ἰσοταχῶς φερόμενα δόξει ἑστάναι, τὰ δὲ βραδύτερον εἰς τοὐναντίον φέρεσθαι, τὰ δὲ θᾶττον εἰς τὰ προηγούμενα.

φερέσθω γὰρ ἀνίσῳ τάχει τὰ Β, Γ, Δ, καὶ βραδύτατα μὲν φερέσθω τὸ Β, τὸ δὲ Γ ἰσοταχῶς τῷ Κ ὄμματι, τὸ δὲ Δ θᾶττον τοῦ Γ. ἀπὸ δὲ τοῦ Κ ὄμματος προσπιπτέτωσαν ἀκτῖνες αἱ ΚΒ, ΚΓ, ΚΔ. οὐκοῦν τῷ ὄμματι παραφερόμενον τὸ Γ ἑστάναι δόξει, τὸ δὲ Β ὑπολειπόμενον εἰς τοὐναντίον φέρεσθαι, τὸ δὲ Δ, ὃ θᾶττον ὑπόκειται τούτων φέρεσθαι, φέρεσθαι δόξει εἰς τοὔμπροσθεν· πλεῖον γὰρ ἀπὸ τούτων ἀποστήσεται.

5. *ΚΑ*] supra. 5: *ἐπὶ μιᾶς* — 7: *Γ, Ζ, Α*] mg. m. 2. 6. *ἔχοντα*] *ἐχόντων*. 7. *παράλληλος* — 8: *ΜΑ*] postea additum. 8. *καί*] in ras. *ἐπεζεύχθωσαν*] *ἐπεζεύχθω* in ras. *αἵ*] *ἡ*. 10. *ὄμματος*] sequitur: *τοῦ δὲ ὄμματος ἀκτίνων προσπιπτουσῶν τῶν φερομένων ἡ ΜΓ τὸ ἄρα παραλλαξάντων τῶν ΒΓ, ΔΖ, ΚΑ*, sed deletum; deinde lacuna. *προσπιπτουσῶν* — 16: *γενομένων*] mg., in textu *γινομένων* post lacunam. 26. *νδʹ*] *ξβʹ*. 27. *συμπαραφέρηται*] *σύμπαραφέρεται*. 35. *τῷ*] corr. ex *τό*; fort. *τὸ τῷ*. 37. *φέρεσθαι*] om.

νε'.

Ἐάν τινων φερομένων διαφαίνηταί τι μὴ φερόμενον, δόξει τὸ μὴ φερόμενον εἰς τὰ ὄπισθεν φέρεσθαι.

φερέσθω γὰρ τὰ Β, Δ, μενέτω δὲ τὸ Γ, καὶ ἀπὸ τοῦ ὄμματος προσπιπτέτωσαν ἀκτῖνες αἱ ΖΒ, ΖΓ, ΖΔ. οὐκοῦν τὸ μὲν Β φερόμενον ἔγγιον ἔσται τοῦ Γ, τὸ δὲ Δ ἀποχωροῦν πορρώτερον· εἰς τοὐναντίον ἄρα φέρεσθαι δόξει τὸ Γ.

νς'.

Τοῦ ὄμματος ἔγγιον τοῦ ὁρωμένου προσιόντος δόξει τὸ ὁρώμενον ηὐξῆσθαι.


ὁράσθω γὰρ τὸ ΒΓ τοῦ ὄμματος ἐπὶ τοῦ Ζ κειμένου ὑπὸ τῶν ΖΒ, ΖΓ ἀκτίνων, καὶ μετακείσθω τὸ ὄμμα ἔγγιον τοῦ ΒΓ, καὶ ἔστω ἐπὶ τοῦ Δ, καὶ ὁράσθω τὸ αὐτὸ ὑπὸ τῶν ΔΒ, ΔΓ ἀκτίνων. οὐκοῦν μείζων ἡ Δ γωνία τῆς Ζ γωνίας· τὰ δὲ ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεται. δόξει ἄρα ηὐξῆσθαι τὸ ΒΓ τοῦ ὄμματος ἐπὶ τοῦ Δ ὄντος ἤπερ ἐπὶ τοῦ Ζ : ∾ ἑξῆς.

νζ'.

Τῶν ἴσῳ τάχει φερομένων τὰ πόρρω δοκεῖ βραδύτερον φέρεσθαι.

φερέσθω γὰρ ἰσοταχῶς τὰ Β, Κ, καὶ ἀπὸ τοῦ Α ὄμματος ἀκτῖνες ἤχθωσαν αἱ ΑΓ, ΑΔ, ΑΖ. οὐκοῦν τὸ Β μείζονας ἔχει τὰς ἀπὸ τοῦ ὄμματος ἀκτῖνας ἠγμένας ἤπερ τὸ Κ. μεῖζον ἄρα διάστημα διελεύσεται καὶ ὕστερον παραλλάσσον τὴν ΑΖ ὄψιν δόξει βραδύτερον φέρεσθαι.

ἄλλως.



φερέσθω γὰρ δύο σημεῖα τὰ Α, Β ἐπὶ παραλλήλων εὐθειῶν, ὄμμα δὲ ἔστω τὸ Ζ, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΖΑ, ΖΒ, ΖΕ, ΖΔ. λέγω, ὅτι τὸ πόρρω τὸ Α δοκεῖ βραδύτερον φέρεσθαι τοῦ Β. ἐπεὶ γὰρ αἱ ΑΖ, ΖΔ τῶν ΖΒ, ΖΕ ἐλάσσονα γωνίαν περιέχουσι, μεῖζον ἄρα τὸ ΒΕ τοῦ ΑΔ βλέπεται. ἐὰν ἄρα τὴν ΖΕ ἀκτῖνα προσεκβάλωμεν ἐπ' εὐθείας, ὅτι ἐπὶ τῶν ἰσοταχῶς φερομένων τὸ μὲν Β

1. νε'] ξγ'. 3. εἰς τὰ ὄπισθεν] supra; erat εἰς τοὔμπροσθεν. 6. ἔγγιον] corr. ex ἔγγειον, ut lin. 10, 14. 9. νς'] ξδ'. 20. νζ'] ξε'. 25. μείζονας] ς add. m. 2. 27. παραλλάσσον] παραλλασον. 30. ξς' additur. 36. βλέπεται] λείπεται.

ἐπὶ τῆς ΖΕ ἀκτῖνος ε † κωλυθὲν ὑστερεῖ ἄρα τῶν ἰσοταχῶς φερομένων τὰ πόρρω δοκεῖ βραδύτερον φέρεσθαι.

ἄλλως.

φερέσθω δύο σημεῖα τὰ Α, Β ἐπὶ παραλλήλων εὐθειῶν τῶν ΑΔ, ΒΕ ὁμαλῶς. τὰς ἴσας ἄρα ἐν ἴσῳ χρόνῳ διελεύσονται. ἔστωσαν οὖν ἴσαι αἱ ΑΔ, ΒΕ, καὶ προσπιπτέτωσαν ἀκτῖνες ἀπὸ τοῦ Ζ ὄμματος αἱ ΖΑ, ΖΔ, ΖΕ. ἐπεὶ οὖν ἐλάττων ἡ ὑπὸ ΑΖΔ τῆς ὑπὸ ΒΖΕ γωνίας, ἔλαττον ἄρα τὸ ΑΔ διάστημα τοῦ ΒΕ φανήσεται. ὥστε δόξει τὸ Α βραδύτερον φέρεσθαι.

νη'.

Τοῦ ὄμματος μένοντος τῶν δὲ ὄψεων παραφερομένων τὰ πόρρω τῶν ὁρωμένων καταλείπεσθαι δόξει.

ἔστω ὁρώμενα τὰ Α, Γ ἐπὶ εὐθειῶν ὄντα τῶν ΑΒ, ΓΔ, ὄμμα δὲ ἔστω τὸ Ε, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΕΓ, ΕΔ, ΕΑ [ΕΒ]. λέγω, ὅτι τὸ πρὸς τῷ Α καταλείπεσθαι δόξει. προσεκβεβλήσθω ἡ ΕΔ, ἄχρις οὗ συμβαλεῖ τῇ ΑΒ, καὶ ἔστω ἡ ΕΒ. ἐπεὶ οὖν μείζων γωνία ἡ ὑπὸ ΓΕΒ τῆς ὑπὸ ΑΕΒ, μεῖζον ἄρα τὸ ΓΔ διάστημα τοῦ ΑΒ φαίνεται. ὥστε τοῦ ὄμματος ἐπὶ τοῦ Ε μένοντος αἱ ὄψεις ὡς ἐπὶ τὰ Α, Γ μέρη παραφερόμεναι θᾶττον παραλλάξουσι τὸ Α ἤπερ το Γ. ὑπολείπεσθαι ἄρα δόξει τὸ ΑΒ.

νθ'.


Τὰ αὐξανόμενα τῶν μεγεθῶν δόξει προσάγεσθαι τῷ ὄμματι.

ἔστω ὁρώμενον μέγεθος τὸ ΑΒ, ὄμμα δὲ ἔστω τὸ Γ, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΓΑ, ΓΒ. καὶ ηὐξήσθω τὸ ΒΑ καὶ ἔστω τὸ ΒΔ, καὶ προσπιπτέτω ἀκτὶς ἡ ΓΔ. ἐπεὶ οὖν μείζων γωνία ἡ ὑπὸ ΒΓΔ τῆς ὑπὸ ΒΓΑ, μεῖζον ἄρα φαίνεται τὸ ΒΔ τοῦ ΒΑ. τὰ δὲ μείζονα ἑαυτῶν οἰόμενα ἐπαυξάνεσθαι δοκοῦσι, καὶ τὰ ἔγγιον τοῦ ὄμματος ἐλάττονα φαίνεται. τὰ ἄρα αὐξόμενα τῶν μεγεθῶν δόξει προσάγεσθαι τῷ ὄμματι.

1. Post ε lacuna 1/3 lin. 3. ξζ' additur. 8. ΖΕ] ΖΕ γωνίας, sed γωνίας deletum. 12. νη'] ξη'. 13. παραφερομένων] -ερ- in ras. 15. Γ] in ras. εὐθειῶν] παραλλήλων εὐθειῶν? 17. ΕΒ] supra. 18. τῷ] τό. 19. συμβαλεῖ] συμβαλ^ una littera erasa. τῇ] e corr. ΑΒ] Β e corr. 26. νθ'] ξθ'. 30. ΒΔ] Δ corr. 34. δοκοῦσι] σι post lacunam. ἔγγιον] ι in ras. 35. ἐλάττονα] scrib. μείζονα; u. prop. 5.

ξ'.

Ὅσα ἐπὶ τῷ αὐτῷ διαστήματι κεῖται τῶν ἄκρων μὴ ἐπ' εὐθείας τῷ μέσῳ ὄντων, τὸ ὅλον σχῆμα ὁτὲ μὲν κοῖλον ὁτὲ δὲ κυρτὸν ποιεῖ. ὁράσθω γὰρ τὰ ΓΒΔ τοῦ ὄμματος ἐπὶ τοῦ Κ κειμένου, καὶ




προσπιπτέτωσαν ἀκτῖνες αἱ ΚΓ, ΚΒ, ΚΔ. οὐκοῦν τὸ ὅλον σχῆμα κοῖλον δόξει εἶναι. μετακινείσθω δὴ πάλιν τὸ ἐν τῷ μέσῳ ὁρώμενον, καὶ ἔγγιον κείσθω τοῦ ὄμματος. οὐκοῦν τὸ ΔΒΓ δόξει κυρτὸν εἶναι.

ξα'.

Ἐὰν τετραγώνου ἀπὸ τῆς συναφῆς τῶν διαμέτρων πρὸς ὀρθὰς ἀχθῇ εὐθεῖα, ἐπὶ δὲ ταύτης τὸ ὄμμα τεθῇ, αἱ πλευραὶ τοῦ τετραγώνου ἴσαι φανοῦνται, καὶ αἱ διάμετροι δὲ ἴσαι φανήσονται.

ἔστω τετράγωνον τὸ ΑΒΓΔ, καὶ ἤχθωσαν αὐτοῦ διαγώνιοι αἱ ΔΒ, ΓΑ, καὶ ἀνήχθω πρὸς ὀρθὰς ἀπὸ τοῦ Ε τῷ ἐπιπέδῳ μετέωρος εὐθεῖα ἡ ΕΖ, ἐφ' ἧς ὄμμα κείσθω τὸ Ζ, καὶ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΖΑ, ΖΒ, ΖΔ, ΖΓ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΕ τῇ ΕΓ, κοινὴ δὲ ἡ ΕΖ, καὶ αἱ γωνίαι ὀρθαί, βάσις ἄρα ἡ ΖΓ βάσει τῇ ΔΖ ἴση ἐστίν, καὶ τῶν πρὸς ταῖς βάσεσι γωνιῶν ἐκεῖναι ἴσαι, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΕΖΓ τῇ ὑπὸ ΕΖΔ. ἴση ἄρα φανήσεται ἡ ΕΓ τῇ ΕΔ. ὁμοίως καὶ ἡ ὑπὸ ΑΖΕ τῇ ὑπὸ ΒΖΕ ἴση ἐστίν. ἴση ἄρα φανήσεται ἡ ΑΓ τῇ ΒΔ. πάλιν ἐπεὶ ἡ μὲν ΓΖ τῇ ΖΒ ἐστιν ἴση, ἡ δὲ ΑΖ τῇ ΖΔ, ἀλλὰ καὶ ἡ ΑΒ τῇ ΓΔ, αἱ τρεῖς ἄρα ταῖς τρισὶν ἴσαι εἰσί, καὶ γωνία γωνίᾳ. ἴση ἄρα φανήσεται ἡ πλευρὰ τῇ πλευρᾷ, ὡς καὶ αἱ λοιπαὶ πλευραὶ ἴσαι φανήσονται.



1. ξ'] ο'. 6. ἔγγιον] ι in ras. 7. ξα'] οα'. 11. διαγώνιοι] -ιοι in ras. 16. αἱ] om. 18. πλευραί] π̄. 24. ΑΒ] Α in ras. est. 25. πλευρά] π̄.

ξβ'.

Τῆς δὲ ἀπὸ τοῦ ὄμματος ἐπὶ τὴν συναφὴν τῶν διαμέτρων μήτε πρὸς ὀρθὰς οὔσης τῷ ἐπιπέδῳ μήτε ἴσης ἑκατέρᾳ τῶν ἀπὸ τῆς συναφῆς πρὸς τὰς γωνίας τοῦ τετραγώνου ἀγομένων. μήτε ἴσας γωνίας ποιούσης μετ' αὐτῶν αἱ διάμετροι ἄνισοι φανήσονται.

ὁμοίως γὰρ δείξομεν τὰ συμβαίνοντα καθάπερ καὶ ἐν τοῖς κύκλοις.

Überblicken wir zunächst, wie sich die hier gebotene Redaktion der Optik zur Vulgata verhält, so geht sofort hervor, daſs die gewöhnliche Gestalt um ein bedeutendes hinter dieser zurückbleibt. Die Sätze sind mit wenigen Ausnahmen dieselben, auch meistens mit denselben Worten ausgedrückt, aber die Beweise sind in der hier vorliegenden Redaktion durchgängig ausführlicher und klarer; namentlich kommt die sorgfältige Form dem Muster der *στοιχεῖα* weit näher, als es mit der Vulgata der Fall ist. Um nur ein paar Beispiele anzuführen, wo der von Savilius wegen Nachlässigkeit ausgesprochene Tadel unserer Redaktion gegenüber entkräftigt wird, so findet sich der von Savilius zu prop. 24 (S. 618 n. 5 bei Gregorius) vermiſste Zusatz: *καὶ ἐκβεβλήσθω τὸ διὰ τῶν ... ἐπίπεδον* in cod. Vindobon. prop. 25 (oben S. 104, 26); ebenso wird prop. 34 (oben S. 110, 29) ausdrücklich hinzugefügt: *μεῖζον μὲν ἔσται*; vgl. Savilius bei Gregorius S. 624 n. 1. Prop. 37, S. 112, 13 wird richtig hervorgehoben (*αἱ διάμετροι*) *αἱ ποιοῦσαι τὰς ἴσας γωνίας*, was die Vulgata prop. 36, S. 625, 23 ungenau wegläſst (Savilius S. 625 n. 1). Ebenso wird prop. 43 die Angabe *κατὰ παράλληλον θέσιν*, die sich in cod. Vindob. erhalten hat (prop. 43, S. 118, 18), ungern in der Vulgata vermiſst (Savilius S. 632 n. 1). Ein weiteres Beispiel giebt prop. 7 der Vulgata: *τὰ ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντα ἴσα*[1]) *μεγέθη πορρωτέρω ἀλλήλων τεθέντα ἄνισα φαίνεται*, worüber schon Savilius S. 610 n. 2 bemerkt, daſs Satz und Beweis zu einander nicht stimmen; es fehlen die beiden oben prop. 8 S. 95 aus cod. Vindob. hinzugefügten Angaben: *μὴ ἐφεξῆς ἀλλήλοις τεθέντα καὶ ἄνισον διεστηκότα τοῦ ὄμματος*; im Beweise hat die Vulgata sich hier vollständig von der alten Redaktion entfernt. So wie prop. 7 jetzt gelesen wird, ist sie nicht, wie Savilius meinte, mit prop. 4 identisch.

1. ξβ'] om. Sequentia cum praecedenti propositione coniuncta sunt. dein post *φανήσονται* p. 128, 26 interponitur ᵒ⁼ ⁻ :, et in mg. superiore m. 2 repetuntur lin. 1—5, sed prima linea recisa est, secunda partim detrita. lectiones hic occurrentes infra littera m significaui. 2. *τῆς δὲ ἀπὸ τοῦ ὄμματος*] *τῶν διαστημάτων*. 3. *ἴσης*] *ἴση* (etiam m). *ἑκατέρᾳ τῶν*] *τῇ ἑκατέρᾳ τῷ*; *τῇ* (deletum) *ἑκατέρα τῶν* m. 5. *ἄνισοι*] e corr. (*ἄνισοι* m). 6. *καί*] om. m. *κύκλοις*] -*λοι*- in ras.

---

1) So mit sieben Pariser Hdsn.; *ἴσα ὄντα* hat Gregorius weniger gut aus Pena aufgenommen.

Zu prop. 31 hat Savilius nicht bemerkt, dafs nach *βάσιν* die Worte: *καὶ πρὸς ὀρθὰς αὐτῇ τὸν ἄξονα*, die von wesentlicher Bedeutung sind, in der Vulgata fehlen; Schneider Ecl. II S. 222 hat sie nach Heliodor hinzugefügt; sie stehen in Vindob. prop. 31, S. 108, 32. Schneider II' S. 216 hat ebenfalls mit Recht bemerkt, dafs in Hypoth. 2 *ἐν τῷ ὄμματι* bei Heliodor richtiger sei als *πρὸς τῷ ὄμματι* in den Ausgaben von Euklid; jenes hat auch Vindob. (S. 93, 5).[1])

Diese Beispiele werden genügen um sehen zu lassen, dafs die Bedenken, die man wegen der mathematischen Ungenauigkeiten der Beweise gegen die Autorschaft Euklids gehegt hat, zum guten Teil jetzt fallen müssen. Und dafs die vorliegende Arbeit in der That, wie uns überliefert ist, Euklid zum Verfasser hat und im wesentlichen authentisch ist, wird durch einige Citate bei Theon von Alexandria im Kommentar zu Ptolemäus bestätigt; zum Vergleiche stelle ich neben Theon und die Fassung des Vindob. auch die Vulgata; Theon ist nach der Basler Ausgabe von 1538 fol. citiert.

Cod. Vindob.	Vulgata.	Theon.
Prop. 3: *ἕκαστον τῶν ὁρωμένων ἔχει τι μῆκος ἀποστήματος, οὗ γενομένου οὐκέτι ὁρᾶται.* Prop. 4: *τῶν ἴσων διαστημάτων καὶ ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντων τὰ ἐκ πλείονος διαστήματος ὁρώμενα ἐλάττονα φαίνεται.*	Prop. 3: *ἕκαστον τῶν ὁρωμένων ἔχει τι μῆκος ἀποστήματος, οὗ γενομένου οὐκέτι ὁρᾶται.* Prop. 4: *τῶν ἴσων διαστημάτων ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντων τὰ ἐκ πλείονος ἀποστήματος ὁρώμενα ἐλάττω φαίνεται.*	P. 7: *κατ' Εὐκλείδην ἐν τοῖς ὀπτικοῖς ἕκαστον τῶν ὁρωμένων ἔχει τι μέγεθος διαστήματος, οὗ γενομένου οὐκέτι ὀφθήσεται. καὶ πάλιν τῶν ἴσων μεγεθῶν καὶ ἐπὶ τῆς αὐτῆς εὐθείας ὄντων τὰ ἐκ πλείονος διαστήματος ὁρώμενα ἐλάττονα φαίνεται.*
Prop. 5: *τὰ ἴσα μεγέθη ἄνισον διεστηκότα ἄνισα φαίνεται καὶ μεῖζον ἀεὶ τὸ ἔγγιον κείμενον τοῦ ὄμματος.*	Prop. 5: *τὰ ἴσα μεγέθη ἄνισον διεστηκότα ἄνισα φαίνεται καὶ μεῖζον ἀεὶ τὸ ἔγγιον τοῦ ὄμματος κείμενον.*	P. 8: *καθά φησι καὶ Εὐκλείδης ἐν τοῖς ὀπτικοῖς, ὅτι τὰ ἴσα μεγέθη ἤτοι διαστήματα ἄνισον διεστηκότα ἀπὸ τοῦ ὄμματος ἄνισα φαίνεται.*
Prop. 24: *σφαίρας ὁπωσδηποτοῦν ὁρωμέ-*	Prop. 23: *σφαίρας ὁπωσοῦν ὁρωμένης ὑπὸ*	P. 265: *ὅτι μὲν οἱ περιλαμβανόμενοι κύ-*

1) Die oben berührte Prop. 31 hat ein besonderes Interesse dadurch, dafs die Worte: *κώνου κύκλον ἔχοντος τὴν βάσιν* etc. (woran Savilius mit Unrecht Anstofs nahm) beweisen, dafs schon Euklid nicht mehr auf die von ihm selbst Elem. XI def. 18 gegebene (wohl aus älteren Lehrbüchern herübergenommene) Definition des Kegels beschränkt war.

νης ὑπὸ ἑνὸς ὄμματος ἔλασσον ἀεὶ ἡμισφαιρίου φαίνεται, αὐτὸ δὲ τὸ ὁρώμενον τῆς σφαίρας κύκλου περιφέρεια φαίνεται.	τοῦ ἑνὸς ὄμματος ἔλαττον ἀεὶ τοῦ ἡμισφαιρίου ὀφθήσεται, αὐτὸ δὲ τὸ ὁρώμενον τῆς σφαίρας ὑπὸ κύκλου περιεχόμενον φαίνεται.	κλοι κατὰ τὰς σφαίρας τῶν φώτων ὑπὸ τῶν πρὸς τῇ ὄψει συνισταμένων κώνων ἐλάσσονές εἰσι τῶν ἐν αὐταῖς μεγίστων κύκλων, δῆλον ἐκ τῶν Εὐκλείδου ὀπτικῶν.[1])

Hierzu kann noch gefügt werden, dafs Pappus VI 80 p. 568 ungenau, aber doch mit unverkennbarer Uebereinstimmung im wesentlichen, prop. 38 (vulgo 37) so anführt: *ἐὰν ἡ ἀπὸ τοῦ ὄμματος προσπίπτουσα πρὸς τὸ κέντρον τοῦ κύκλου μήτε πρὸς ὀρθὰς ᾖ τῷ ἐπιπέδῳ μήτε ἴση τῇ ἐκ τοῦ κέντρου, μείζων δὲ ἢ ἐλάσσων, ἄνισοι αἱ διάμετροι τοῦ κύκλου φανοῦνται.*[2]) Zwar sagt Pappus nicht ausdrücklich, dafs dieser Satz nebst den dazu gehörigen Erläuterungen der Optik Euklids entnommen sei. Dasselbe gilt aber z. B. von den Supplementen zu den *σφαιρικοῖς* des Theodosius, die Pappus VI 2, S. 474, 15 ohne Namensnennung giebt, und die Bemerkungen über die Optik, die zum *μικρὸς ἀστρονομούμενος*, wovon Buch VI überhaupt handelt, jedenfalls gehörte, stehen unmittelbar vor den Erläuterungen zu den *Φαινομένοις* (VI 104, S. 594). Es ist also wohl unzweifelhaft, dafs der Scholiast, der im cod. Vaticanus A des Pappus S. 568, 12 *εἰς τὰ ὀπτικὰ Εὐκλείδου* hinzugefügt hat, damit den eigenen Gedanken des Pappus ausdrückte. Die Lemmata bei Pappus (VI S. 568—586; denn VI 98—102, S. 586—592 und VI 103, S. 592—94 enthält, wie auch angedeutet wird, eigene Zuthaten des Verfassers) zeigen, dafs ihm derselbe Beweis vorlag wie uns. VI 80 wird in unserer Redaktion S. 113, 25: *καὶ ἡ ὑπὸ τῶν ΖΑ, ΑΒ ἄρα τῆς ὑπὸ τῶν ΓΑ, ΑΒ ἐστι μείζων* angewandt, wo mit den Worten S. 113, 24 *ὥστε εἰσίν ... ἄνισοι* ein ähnlicher Beweis angedeutet wird (vgl. Pappus S. 568, 24); derselbe Satz ist bei Gregorius als Lemma 2, S. 627 aufgeführt, aber schon der Umstand, dafs Pappus ihn giebt, spricht dafür, dafs er bei Euklid ursprünglich nicht da war, wie er denn auch im Vindob. fehlt. Dasselbe gilt von VI 81, angewandt S. 113, 16: *καὶ ἡ ΒΖ ἄρα ἐπὶ τὴν ΔΕ κάθετός ἐστιν*, bei Gregorius Lemma 1 S. 627. In VI 82—84 wird dasselbe

---

1) Vgl. noch Theon S. 199: *φωτίζεται δὲ αὐτῆς* (des Mondes) *πάντοτε ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων μεῖζον ἡμισφαιρίου διὰ τὸ μείζονα αὐτῆς εἶναι τὸν ἥλιον . . . δέδεικται γὰρ ταῦτα καὶ Ἀριστάρχῳ* (De dist. 2) *καὶ Εὐκλείδῃ*; vgl. Opt. 27, S. 105.

2) In der Form der Vulgata näher kommend; prop. 37: *ἐὰν ἡ ἀπὸ τοῦ ὄμματος πρὸς τὸ κέντρον προσπίπτουσα τοῦ κύκλου μήτε πρὸς ὀρθὰς ᾖ τῷ τοῦ κύκλου ἐπιπέδῳ μήτε ἴση ᾖ τῇ ἐκ τοῦ κέντρου μήτε ἴσας γωνίας περιέχουσα μετὰ τῶν ἐκ τοῦ κέντρου, μείζων δὲ ἢ ἐλάσσων τῆς ἐκ τοῦ κέντρου, ἄνισοι αἱ διάμετροι φανοῦνται.*

bewiesen, das im *λῆμμα* oben S. 113—14 enthalten ist, und zwar in ähnlicher Weise. Ob wir hieraus schliefsen dürfen, dafs auch das *λῆμμα* S. 113 f. ein späteres Einschiebsel sei, ist sehr zweifelhaft; mir wenigstens ist es unwahrscheinlich, dafs Euklid diesen keineswegs von selbst einleuchtenden Beweis weggelassen haben sollte.[1]) Auch scheint mir die ganze Fassung von prop. 38, wo das Resultat erst S. 112—13 zum voraus angegeben wird und dann in zwei besonderen Teilen nachgewiesen (worauf S. 113, 4 mit den Worten *ὡς ἑξῆς δείξομεν* hingewiesen wird), nur dann recht erklärlich, wenn Euklid selbst um das für den Beweis der beiden besonderen Teile nötige Lemma zu geben die Darstellung unterbrechen wollte, und deshalb zuerst den Zusammenhang und das Gemeinschaftliche der beiden Sonderfälle hervorzuheben wünschte. Bei Gregorius findet sich nur Pappus VI 82 als *προσλαμβανόμενα εἰς τούτων ἀπόδειξιν* S. 625—26, zu VI 83—84 hat er nichts Entsprechendes. Pappus VI 85 findet seine Anwendung Vindob. S. 115, 8: *μείζων ἐστὶν ἡ πρὸς τῷ Ξ τῆς πρὸς τῷ O*, bei Gregorius S. 629, 11 ff., mit beigefügter Begründung, die also bei Euklid nicht da war. VI 86 wird angewandt oben S. 116, 15: *πάλιν ἐπεὶ μείζων* etc., in der Vulgata S. 630, 24. VI 87—88 gebraucht Pappus in seinen Beweisen VI 85 (S. 576, 1) und VI 89; sie haben daher nichts Entsprechendes bei Euklid. VI 89 dagegen kommt im Vindob. S. 115, 12: *μείζων δὲ ἡ πρὸς τῷ O τῆς πρὸς τῷ Π* und S. 116, 12: *ἐπεὶ οὖν μείζων ἡ πρὸς τῷ O τῆς πρὸς τῷ Ξ* zur Anwendung. VI 90—91 wiederholt Pappus, um alle Fälle beisammen zu haben, Euklid prop. 35—36 (vulgo 35 und der erste Teil von 36).[2]) VI 92 enthält ein von Pappus selbst herrührendes Korollarium. VI 93—97 endlich giebt den Beweis des VI 80 angeführten Satzes, der jetzt vervollständigt und genauer bestimmt wird (VI 93); der Beweis, worin die früheren Sätze VI 80 ff. zur Anwendung kommen (vgl. VI 80, S. 568, 17: *προγράφεται δὲ τοῦ θεωρήματος τάδε*), weicht in der Form sehr von Euklid prop. 38 (vulgo 38—39) ab, aber auch nur in der Form. Pappus war also mit dem, allerdings auch etwas schwerfälligen Euklidischen Beweise nicht zufrieden; deshalb

---

1) Prop. 38, S. 115, 28 wird auf dieses Lemma mit den Worten *ὡς προδέδεικται* verwiesen.

2) Prop. 37 (vulgo zweiter Teil von 36) hat Pappus nicht besonders aufgeführt (wie er denn auch die hierauf bezüglichen Worte *μήτε ἴσας γωνίας περιέχουσα* und *πρὸς ἃς ποιεῖ ἀνίσους γωνίας* in der Wiedergabe von prop. 38 übergeht, s. S. 568, 15 und 582, 14), weil sie im Beweis für prop. 38, bei Pappus VI 96—97, mitenthalten ist. Vielleicht hat hier eine Interpolation stattgefunden; denn prop. 38, S. 115, 27, wo Euklid aus der Gleichheit von EZT und EZH nach diesem Satz unmittelbar auf die Gleichheit der Durchmesser $H\Theta$ und $T\Sigma$ schliefsen konnte, hat er diese in anderer Weise bewiesen.

hat er seine Verbesserungen und Erläuterungen in die συναγωγαί aufgenommen und daran noch einige weitere Folgerungen und Sätze selbständig geknüpft.

Ich glaube also behaupten zu können, dafs die Optik, wie wir sie haben, im grossen und ganzen echt ist, und dafs die vom Vindobonensis gebotene Fassung der ursprünglichen viel näher steht als die gewöhnliche. Doch ist der Text des Vindobonensis keineswegs überall befriedigend oder gar nur leidlich. Ganz abgesehen von kleineren Schreibfehlern, wie sie in allen Handschriften vorkommen, findet sich eine ziemlich grofse Anzahl von ganz verkehrten oder unverständlichen Stellen, die nur dem Schreiber oder Redakteur, jedenfalls aber nicht Euklid zur Last fallen können. Ich will einige der verdorbenen Stellen hier anzeigen:

Prop. 11 ist das Porisma S. 98, 3 sinnlos; es sollte heifsen: Gegenstände von bedeutender Länge scheinen wegen der Erhöhung der entfernteren Teile hohl.

Prop. 16 scheint *φαίνεται* zweimal (S. 99, 24 und 29) verschrieben für *ἀπολαμβάνεται*; vgl. prop. 17.

Prop. 29 steht der erste Beweis, wo das Auge in der Ebene der Cylinderbasis gedacht wird (*ἐν τῷ αὐτῷ ἐπιπέδῳ κείμενον τῇ βάσει τοῦ κυλίνδρου* S. 107, 1), nicht mit dem Satze selbst im Einklang, wo ausdrücklich *ὁπωσδηποτοῦν ὁρωμένου* steht. Auch scheint der ganz verworrene Schlufs des *ἄλλως* S. 107, 39 ff. unecht zu sein.

Prop. 23 ist sowohl im ersten als im zweiten Beweise schwer verdorben.

Prop. 33 ist der Schlufs S. 110, 25 f. unverständlich.

Prop. 46 ist der sehr einfache Beweis (aus der Gleichheit der auf gleichen Kreisbogen stehenden Peripheriewinkel folgt sofort, dafs der Gegenstand überall an der Peripherie gleich erscheint) durch fremde Elemente verunstaltet worden (der Interpolator scheint es auf die Kongruenz der beiden Dreiecke angelegt zu haben).

Prop. 47 *ἄλλως* hat einen unechten Schlufs, der einem Scholium ähnlich sieht.

Prop. 49 mufs sehr verunstaltet worden sein; die Winkel *ΒΘΑ*, *ΓΗΔ* können unmöglich gleich sein, wie S. 123, 24 behauptet wird.

Prop. 53 leidet an grofser Unklarheit. Aber diese beiden letztgenannten Sätze sind im Vindob. sehr schlecht überliefert, mit vielen Rasuren, getilgten und hinzugefügten Stellen, so dafs wir hier wenigstens von anderen Handschriften Hülfe erwarten dürfen. Auch prop. 57 *ἄλλως* 1 trägt äufserliche Spuren der Korruption.

Besonders merkwürdig sind ein paar Stellen, wo ein unzweifelhafter Irrtum des Vindob. sich in der Vulgata oder bei

Damianus wiederfindet, und also ziemlich hoch hinaufreicht. So steht prop. 43 S. 119, 4: *πασῶν τῶν διὰ τοῦ κέντρου διαγομένων εὐθειῶν καὶ ποιουσῶν ὀρθὴν* (vielleicht *πρὸς τῇ ΓΕ*) *γωνίαν ἐλαχίστη ἐστὶν ἡ ὑπὸ ΓΕΑ*. Es ist unglaublich, dafs Euklid einen so sonderbaren Ausdruck, wofür hier nicht die mindeste Veranlassung oder Entschuldigung ist, gebraucht haben sollte; er schrieb gewifs: *πασῶν [τῶν γωνιῶν τῶν περιεχομένων ὑπὸ τῆς ΓΕ καὶ] τῶν διὰ* etc. Jedoch lesen wir genau dieselbe Wendung an derselben Stelle bei Gregorius S. 633, 6—8 und 17—19, und sie ist dann noch S. 626, 43—46 und S. 627, 9—12 eingedrungen, wo Vindobon. (*λῆμμα* S. 113, 9 u. 27) das Richtige hat.

Häufiger hat Damianus, über dessen Auszug wir unten berichten werden, die Fehler des Vindobon. bewahrt. Die Hypothesis 1 lautet bei ihm S. 36 wie im Vindob. S. 93: *ὑποκείσθω τὰς ἀπὸ τοῦ ὄμματος ἐξαγομένας εὐθείας γραμμὰς φέρεσθαι διάστημα μεγεθῶν μεγάλων*, und er erläutert diesen Satz so (S. 36): *οὐ μὴν δὲ ἐπ' ἄπειρον, ἀλλ' ὥσπερ ἐν τοῖς ἄλλοις τοῖς κατὰ φύσιν οὖσι καὶ γινομένοις τὸ πέρας ἀναγκαῖόν ἐστι· τοῦ γὰρ ἀπείρου φύσις οὐ περιδράττεται, ἀλλὰ πάντα τὰ ἐν τῇ φύσει ὅρον ἔχει τὴν φύσιν καὶ τὴν ἀπὸ φύσεως κίνησιν καὶ πόθεν καὶ ποῖ. οὕτως καὶ ἐπὶ ταῖς ἐξαγομέναις ἐκ τοῦ ὄμματος εὐθείαις γραμμαῖς ἔστι μὲν καὶ τὸ ἐφικνεῖσθαι τῶν ὑποκειμένων εἰς ὅρασιν, ἔστι δὲ καὶ τὸ μὴ ἐφικνεῖσθαι διὰ τὴν ἐπὶ ταύταις εἰς τὸ ἐπέκεινα τοῦ μετρίου ἀσθένειαν*. Es hat also den Satz von der Tragweite der Sehestrahlen verstanden. Das kann aber kaum richtig sein; es müfste dann wenigstens *ἀκτῖνας* statt *εὐθείας γραμμάς* heifsen; denn diese können ja nicht nur „ein grosses Stück", sondern ins unendliche verlängert werden. Dazu kommt noch, dafs ein solcher Grundsatz im ganzen Buche nirgends nötig ist. Hier hat, wie es scheint, die Vulgata wenigstens den Sinn des echten Postulates richtiger wiedergegeben: *ὑποκείσθω τὰς ἀπὸ τοῦ ὄμματος ὄψεις κατ' εὐθείας γραμμὰς φέρεσθαι διάστημά τι ποιούσας ἀπ' ἀλλήλων*[1]) (Gregorius S. 604). Denn dieser Satz ist zum Beweis von prop. 1 notwendig, wo es (auch in Vindob.) heifst: *ἐπεὶ ἐν διαστήματι φέρονται αἱ προσπίπτουσαι ὄψεις*. — In prop. 42 S. 118, 5 ff. heifst es als Beweis dafür, dafs *AB* immer gleich erscheinen wird: *πᾶσαι δὲ αἱ ἀπὸ τοῦ Γ κέντρου προσπίπτουσαι πρὸς τὴν τοῦ κύκλου περιφέρειαν εὐθεῖαι ἴσας γωνίας ποιοῦσιν*. Selbst wenn man zugiebt, dafs diese sehr unklaren Worte bezeichnen können, dafs der Winkel *ΑΒΓ* immer sich gleich (weil recht) bleibt, so vermifst man doch die ungleich wichtigere Angabe, dafs der Winkel *ΑΓΒ* während der Umdrehung von *AB* immer derselbe ist. Aber Damianus S. 76 hat ebenso: *ἡ γὰρ ὑπὸ αβγ γωνία ὀρθή ἐστιν, πᾶσαι δὲ* (*γὰρ* hat Bartholin unrichtig) *αἱ ἀπὸ τοῦ Γ κέντρου προσπίπτουσαι πρὸς τὴν περιφέρειαν εὐθεῖαι ἴσας γωνίας*

1) So alle 11 Pariser Hdschn. Gregorius hat *ἐπ' ἀλλήλων*.

ποιοῦσιν. Alles würde berichtigt sein, wenn man statt *τὴν τοῦ κύκλου περιφέρειαν* läse *τὴν ΑΒ*, und so giebt Gregorius S. 631, 29: *πᾶσαι ἄρα αἱ ἀπὸ τοῦ κέντρου τοῦ Γ πρὸς τὸ ΑΒ μέγεθος προσπίπτουσαι ἀλλήλαις ἴσας γωνίας ποιοῦσιν*. — In prop. 59 ist der Beweis unklar und namentlich am Schlufs ohne Zweifel verdorben; denn *τὰ δὲ μείζονα ἑαυτῶν οἰόμενα* in der Bedeutung: „was grösser, als es wirklich ist, geglaubt wird (erscheint)" ist nicht griechisch. Doch finden wir das unmögliche *οἰόμενα* nicht nur bei Damianus S. 92: *τὰ οἰόμενα μείζονα*[1]), sondern auch in einigen Handschriften der Vulgata S. 641, 36; da die Stelle von einigem Interesse ist, mögen die Varianten der Pariser Hdss. hier stehen.

Gregorius S. 641.

τὰ δὲ ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεται· μεῖζον ἄρα φαίνεται τὸ ΓΔ τοῦ ΓΒ. καὶ ἐὰν τὰ μείζονα ὁρώμενα τῷ ὄμματι ἐπαυξάνεσθαι δοκῇ, καὶ τὰ αὐξανόμενα ἄρα τῶν μεγεθῶν δόξει προσάγεσθαι τῷ ὄμματι.

Vindobon. prop. 59.

μεῖζον ἄρα φαίνεται τὸ ΒΔ τοῦ ΒΑ. τὰ δὲ μείζονα ἑαυτῶν οἰόμενα ἐπαυξάνεσθαι [δοκοῦ-]σι, καὶ τὰ ἔγγιον τοῦ ὄμματος ἐλάττονα φαίνεται. τὰ ἄρα αὐξόμενα τῶν μεγεθῶν δόξει προσάγεσθαι τῷ ὄμματι.

In Verbindung mit den oben hervorgehobenen Spuren der Interpolation verdient auch das bemerkt zu werden, dafs die *ἄλλως* unecht zu sein scheinen; sie stimmen durchgängig mit den Beweisen der Vulgata (so prop. 29 *ἄλλως* = Gregorius prop. 29,

Greg. 1. *μείζονα*] *ἔγγιον* Par 2107, 2342. *μείζονα φαίνεται* — 4. *ὄμματι*] *ἔγγειον ἄρα δόξει εἶναι τὸ γδ ἤπερ τὸ βγ* 2347; *ἔγγιον ἄρα δόξει εἶναι τὸ γδ ἤπερ τὸ βγ* post lacunam trium uerborum Suppl. 186. *μεῖζον ἄρα* — 4. *ὄμματι*] *ἔγγιον ἄρα δόξει εἶναι τὸ γδ 'ἤπερ τὸ βγ* 2107, 2342. 2. *ἐάν*] om. 2351; in mg. m. 1 2468; in mg. rubr. 2350. *μείζονα*] *μείζονα ἑαυτῶν* 2351; *μ. ἑαυτῆς* 2350, *ἑαυτῆς* deletum rubr. 3. *δοκῇ*] sic 2468; *δοκοῦσι* 2351; *δοκοῦσι* 2350, sed corr. rubr. in *δοκῇ*. — *δόξει*] *εὔξει* 2350, sed corr. rubr. in *δόξει*.

Vind. 1. *ΒΔ*] *γδ* omnes (cod. Savilianus, Parr. 2352, 2363, 2390, 2472). *ΒΑ*] *γβ* cod. Savil., 2363, 2390, 2472; *γδ* 2352. — *τὰ δέ*] *τά* Savil. (Gregorius S. 641 n. 4), 2363, 2472; *καὶ τὰ* 2352. — *ἑαυτῶν*] Savil., 2363, 2390, 2472; *ἑαυτῆς* 2352. 2. *οἰόμενα*] *οἰόμενα τοῦ ὄμματος προσιόντος* Savil., 2363, 2472; *οἰόμενα τῷ ὄμματι* 2352; *οἰόμενα τοῦ ὄμματος* 2390. *δοκοῦσι*] omnes. *καὶ τά* — 3. *φαίνεται*] om. omnes. 3. *τὰ ἄρα αὐξόμενα*] *καὶ τὰ αὐξανόμενα ἄρα* omnes. — *προσάγεισθαι* 2390. 4. *ὄμματι*] *ὄμματι· ἔγγιον ἄρα δόξει εἶναι τὸ γδ ἤπερ τὸ βγ* 2352, 2363, 2390, 2472.

1) Sein Beweis stimmt übrigens weder mit Vindob. noch der Vulgata genau überein.

prop. 45 ἄλλως = prop. 46; prop. 47 ἄλλως = prop. 48). Eine Ausnahme bildet doch prop. 57 ἄλλως 2, das sowohl bei Gregorius prop. 56 als bei Damianus S. 87 als zweiter Beweis auftritt. Sonderbar ist es, dafs, während prop. 23 ἄλλως 2 wie gewöhnlich dem Beweise der Vulgata (prop. 22) gleich ist, der eigentliche Beweis dieses Satzes (S. 102) demjenigen enge verwandt ist, der bei Gregorius S. 617 als ἄλλως ἐκ τῶν τοῦ Πάππου steht; er hat ihn mit dieser Überschrift aus Pena S. 15, aber weder im cod. Florent. Laur. XXVIII 10 noch in den elf Pariser Handschriften der Optik finde ich von diesem Beweise eine Spur. Dieser 23. Satz gehört übrigens nebst dem ähnlichen 10. Satz zu den auffälligsten Irrtümern der Euklidischen Optik; aber, wie wenig man hierin einen Grund gegen die Echtheit derselben suchen darf, hat Schneider durch den Verweis auf Aristoteles problem. 15, 5—6, wo genau dieselben zwei Sätze vorgetragen werden, treffend gezeigt.

